# ΑΚΟΛΟΥΘΙΑ

## ΙΕΡΑ

ΕΙΣ ΤΗΝ ΜΕΤΑΣΤΑΣΙΝ

ΤΗΣ ΥΠΕΡΑΓΙΑΣ ΔΕΣΠΟΙΝΗΣ ΗΜΩΝ
ΘΕΟΤΟΚΟΥ ΚΑΙ ΑΕΙΠΑΡΘΕΝΟΥ

## ΜΑΡΙΑΣ.

ἐκδίδοται

ΚΕΛΕΥΣΕΙ ΤΟΥ ΜΑΚΑΡΙΩΤΑΤΟΥ ΠΑΤΡΙΑΡΧΟΥ
ΤΩΝ ΙΕΡΟΣΟΛΥΜΩΝ
ΚΥΡΙΟΥ ΚΥΡΙΟΥ

## ΚΥΡΙΛΛΟΥ.

ΕΝ ΙΕΡΟΣΟΛΥΜΟΙΣ,

ΕΚ ΤΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ ΤΟΥ Π. ΤΑΦΟΥ.

ΑΩΞΒʹ.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΙΣΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

# ΑΚΟΛΟΥΘΙΑ

## ΙΕΡΑ

ΕΙΣ ΤΗΝ ΜΕΤΑΣΤΑΣΙΝ

ΤΗΣ ΥΠΕΡΑΓΙΑΣ ΔΕΣΠΟΙΝΗΣ ΗΜΩΝ

ΘΕΟΤΟΚΟΥ ΚΑΙ ἈΕΙΠΑΡΘΕΝΟΥ

## ΜΑΡΙΑΣ.

ἐκδίδοται

ΚΕΛΕΥΣΕΙ ΤΟΥ ΜΑΚΑΡΙΩΤΑΤΟΥ ΠΑΤΡΙΑΡΧΟΥ

ΤΩΝ ΙΕΡΟΣΟΛΥΜΩΝ

ΚΥΡΙΟΥ ΚΥΡΙΟΥ

## ΚΥΡΙΛΛΟΥ.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΓΡΗΓΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

ΕΝ ΙΕΡΟΣΟΛΥΜΟΙΣ,

ΕΚ ΤΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ ΤΟΥ Π. ΤΑΦΟΥ.

ἈΩΞΒ΄.

✝
ΤΟ ΚΟΙΝΟΝ ΤΟΥ Π: ΤΑΦΟΥ
Ἐδωρήσατο εὐλογίας χάριν
هدية وبركة من دير الروم بالقدس الشريف

1853 ΣΦΡΑΓΙΣ ΤΗΣ ΠΑΤΡΙΑΡΧΙΚΗΣ ΤΥΠΟΓΡΑΦΙΑΣ ΤΟΥ ΠΑΝΑΓΙΟΥ ΤΑΦΟΥ
ΚΡ ΠΤ ΙΛ ΑΣ. ΡΧ. ΜΝ.

Πρᾶξις Τυπογραφείου ἀριθ. 53.

ΚΑΙ ἑτέραν αὖθις θεοφιλῆ ἅμα δὲ καὶ θεοπρεπῆ βίβλον προσάγει καὶ μεταδίδωσι τὸ κοινωφελὲς καὶ ψυχοτρόφον τοῦ παναγίου καὶ ζωοπαρόχου Τάφου Τυπογραφεῖον πρὸς ψυχικὴν τέρψιν τε καὶ παραμυθίαν τῷ εὐσεβεῖ χριστεπωνύμῳ πληρώματι· Ἔθος ἐστὶ τῇ τῶν Ἱεροσολύμων Ἐκκλησίᾳ ἐκ χρόνων ἀρχαίων καλῶς καὶ σωτηρίως ἐπικρατῆσαν, κατὰ τὴν ἐτήσιον τῆς Κοιμήσεως τῆς ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου ἑορτὴν, τὴν κοινὴν πᾶσι τοῖς τε ὀρθοδόξοις καὶ ἑτεροδόξοις, καὶ αὐτοῖς ἔτι τοῖς ἐνδαπίοις ὀθωμανοῖς, ἵνα πρὸς τοῖς ἄλλοις πολλοῖς καὶ θαυμαστοῖς ἀναγνώσμασι, δι' ὧν ἡ τῶν πιστῶν ἐκκεκαυμένη εὐσέβεια οὐ παύεται εὐλαβῶς τιμῶσα τε καὶ γεραίρουσα τὴν ὑπέραγνον τοῦ Θεοῦ Μητέρα, ἐπιτελῆται τῇ παραμονῇ ἰδιάζουσά τις ἐπιτάφιος ἤτοι ἐπικήδειος τελετὴ, ἐν ᾗ, περιϊσταμένου κύκλῳ τοῦ ἱεροῦ τῆς Θεομήτορος Κουβουκλίου σύμπαντος τοῦ πρεσβυτερίου, ψάλλονται ἐναρμονίως, καθὰ δὴ καὶ ἐν τῷ τοῦ Σωτῆρος

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΣΧΑ

ἡμῶν Χριστοῦ Ἐπιταφίῳ, τῷ κατὰ τὴν νύκτα τοῦ ἁγίου καὶ μεγάλου Σαββάτου ψαλλομένῳ, διάφορα ἐν ᾄσμασιν ἐγκώμια πρὸς τὴν μεταστᾶσαν Μητροπάρθενον Θεοτόκον Μαρίαν· Ἔνθεν τοι καὶ διάφοροι ἐγκωμιαστικοὶ Κανόνες παρὰ πολλῶν εὐσεβῶν καὶ φιλεόρτων λογίων ἐμελουργήθησαν, ὧν πανηγυρικώτερος ἦν ὁ παρὰ τοῦ Ἐμμανουήλου μεγάλου ῥήτορος ποιηθεὶς, ὅστις τέως ἐπὶ χρόνους ἱκανοὺς ἐψάλλετο ἐν τῷ τῆς ἁγίας Γεθσημανῆς σεβασμίῳ τῆς Θεοτόκου Ναῷ· Ἀλλ' ἐπειδή περ ἐν πᾶσιν οὐκ εἶχε καλῶς, οἷα δὴ ταὐτολογίας πλήρης καί που καὶ περὶ τὴν σύνταξιν χωλαίνων, διά τοι τοῦτο ἔδοξε τῷ κατὰ τὸ ͵αψπγ'. πατριαρχεύοντι τοῦ Ἀποστολικοῦ τῶν Ἱεροσολύμων Θρόνου Μακαριωτάτῳ Ἀβραμίῳ ἐπιτρέψαι τε καὶ ἀναθεῖναι τὴν ἐπὶ τὸ βέλτιον τούτου μεταποίησιν τῷ τὴν διδασκαλικὴν ἕδραν τῆς Ἱεροσολυμιάδος Σχολῆς καρποφόρως καὶ εὐδοκίμως τηνικαῦτα κοσμοῦντι Ἱεροδιδασκάλῳ Προκοπίῳ, ἀνδρὶ Πελοποννησίῳ, ὃς δὴ καὶ ἐξεπέρανε τοὖργον προθύμως, τῷ πατριαρχικῷ ὑπείκων κελεύσματι, καθάπερ ἐκ τῆς ἰδίας αὐτοῦ πρὸς τὸν Μητροπολίτην Ναζαρὲτ Κ. Νεόφυτον ἐπιστολῆς καταδείκνυται, ἥν περ αὐτόγραφον ἐς δεῦρο διασωθεῖσαν, καὶ εἰς χεῖρας ἡμῶν περιελθοῦσαν, παραθέσθαι ἐνταῦθα ὁλόκληρον ἔγνωμεν, τοῖς τὰ τοιαῦτα φιλοῦσιν, ἀρχαιολογεῖν χαριζόμενοι· ἔχει δὲ ἡ ἐπιστολὴ ἐπὶ λέξεως ὧδε· «Τῷ Πανιερολογιωτάτῳ Μητροπολίτῃ ἁγίῳ Ναζαρὲτ Κ. Κ. Νεοφύτῳ, τῷ ἐν Χριστῷ σεβασμίῳ μοι Δεσπότῃ, τὴν προσήκουσάν μου μετ' εὐλαβείας ἀπονέμω προσκύνησιν — Τὸ μὲν τὰ καλῶς ἔχοντα μετακινεῖν, Πανιερολογιώτατε Δέσποτα, λυμεῶνος μᾶλλον ἢ οἰκονομοῦντος ἐστὶν ἄντικρυς· τὸ δὲ τὰ κακῶς πως διακείμενα διορθοῦν πειρᾶσθαι, οὐ μᾶλλον οἰκονομικοῦ ἢ τοῦ τὰ καλὰ ζηλοῦντος ἐστὶν ἴδιον. Ὁποίας δ' οὖν μοίρας τυγχάνω ὧν ἔγωγε ἐν τῷ παρόντι μου ποιηματίῳ τοῦ ἐγκωμιαστικοῦ Κανόνος τῆς Κοιμήσεως τῆς Θεοτόκου, γνώσεται σαφῶς ἡ Πανιερο-

λογιότης αὐτῆς, μετ' ἐπιστάσεως τῆς προσηκούσης παραβαλοῦσα τοῦτο τῷ παρά τινος Ἐμμανουήλου μεγάλου ῥήτορος ποιηθέντι, καὶ, ὡς οἶδε, μέχρι τούτου πρὸ χρόνων ἱκανῶν ἐν τῷ τῆς ἁγίας Γεθσημανῆς σεβασμίῳ Ναῷ τῆς Θεοτόκου ἐν τῇ τῆς Κοιμήσεως αὐτῆς μνήμῃ ψαλλομένῳ, ἀποχρώντως ἔχουσα εἰς τὴν τούτων διάγνωσιν· Ἄλλως τε οὐδὲ οἴκοθεν ὥρμησα εἰς τὴν τούτων μετακίνησιν, οἷά δή τις τῇ φιλοτιμίᾳ δωρούμενος, ἀλλ' ὡς τῷ κοινῷ Πατρὶ καὶ Πατριάρχῃ ἡμῶν πειθαρχῶν, μετακινῆσαι τοῦτο, ὡς μὴ καλῶς ἔχον, ἅτε δὴ ταυτολογίας πλῆρες, καί που κακοσύντακτον, προτρέψαντί με· Εἰ μὲν οὖν δοκεῖ τι τοῦτο ὑπερτερεῖν τοῦ τοῦ Ἐμμανουήλου συντάξει, τάξει τε καὶ νοήμασι, καθ' ἣν ἔσχεν ἐπ' ἐμοὶ προσδοκίαν ὁ κοινὸς Πατὴρ, ἢ ἄλλου του ἄλλῳ τῳ ποιηθέντος, τῆς Πανιερολογιότητος λοιπὸν αὐτῆς ἐστιν ἐπιτάξαι τοῦτο ἀντ' ἐκείνου ἀπ' ἄρτι ψάλλεσθαι ἐν τῇ τῆς Κοιμήσεως μνήμῃ τῆς Θεοτόκου, τῆς τὸ πρόσωπον τοῦ κοινοῦ Πατρὸς ἐπιφερούσης, μέχρις ἂν κἀκεῖθεν κανονισθείη. Εἰ δὲ μὴ ἔξεστιν αὐτῇ παίζειν τὰ παίγνια, καὶ αὖ τὸ τοῦ Ἐμμανουήλου ἐπικρατείτω ὡς καλῶς ἔχον, μέχρις ἄν τις ἀποδείξῃ ἄλλος μετακινήσας τὸ κάλλιον τούτου ποιῆσαι, ἤ περ ἐμὲ δύνασθαι».—Οὕτως οὖν ἔκτοτε ἄχρι δεῦρο ταῦτα τὰ παρὰ τοῦ Προκοπίου πεποιημένα ἐγκωμιαστικὰ ᾄσματα ἀντὶ παντὸς ἄλλου κατὰ πατριαρχικὴν ἐπικύρωσιν καὶ ἐπιταγὴν ἐψάλλοντο ἐν χειρογράφοις, καὶ ὑπὲρ πάντα προετιμῶντο πάντοτε, καί περ τὸ ͵αωλϛ΄· καὶ ἕτερα ἐν Βενετίᾳ τύποις ἐξεδόθησαν, φέροντα ἐπιγραφὴν τοιάνδε· «Ἀκολουθία ἱερὰ εἰς τὴν Μετάστασιν τῆς ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου καὶ Ἀειπαρθένου Μαρίας, ἐκ πολλῶν ἐρανισθεῖσα εἰς χρῆσιν τῶν φιλεόρτων Χριστιανῶν»· Πλὴν ἀλλὰ καὶ τοῦτον τὸν Κανόνα, ἐπειδή περ οὐκ ἦν ἐν πᾶσι τελείως ἁρμονικὸς, οὐκ ἔδει καταλειφθῆναι ἀνεπεξέργαστον καὶ ἀδιόρθωτον· Καὶ δὴ πρῶτον μὲν τῶν τροπαρίων τινὰ ἐπιμελείᾳ τοῦ Πανοσιωτάτου Καθηγουμένου τῆς ἁγίας Γεθσημα-

νῆς Κ. Σαμουὴλ τοῦ Πελοποννησίου ἀκριβέστερον θεωρηθέντα καὶ ἐπὶ τὸ καθ' εἱρμὸν ᾄδεσθαι μεταρρυθμισθέντα ἐπιδιωρθώθη. Νῦν δὲ τὸ δεύτερον κελεύσει τοῦ Μακαριωτάτου Πατριάρχου Κυρίου Κυρίου ΚΥΡΙΛΛΟΥ, ἀναθεωρηθεὶς ὅλος ἐξ ὑπαρχῆς ὁ Κανὼν καὶ κατά τε τὸν ῥυθμὸν καὶ τὴν ἔννοιαν ἐπὶ τὸ τελεώτερον διασκευασθεὶς, τύποις ἐκδίδοται, πρὸς εὐκολίαν μὲν τῶν ἐν τῷ εἰρημένῳ τῆς ὑπεραγίας Θεοτόκου πανσέπτῳ Ναῷ τὴν Ἐπιτάφιον ψαλλόντων κατ' ἔτος Ἀκολουθίαν, εὐφροσύνην δὲ καὶ τέρψιν πνευματικὴν τῶν εὐσεβῶν Χριστιανῶν, ὅσοι τοῖς τοιούτοις ψυχοτερπέσι χαίρουσιν ἀναγνώσμασι·

# ΔΙΑΤΑΞΙΣ.

—οοο—

Τῇ παραμονῇ τῆς Κοιμήσεως, τῇ ιδ'. Αὐγούστου, ὁ Μακαριώτατος Πατριάρχης, εἴ γε τύχοι ἐνδημῶν, μετὰ τῶν λοιπῶν Ἀρχιερέων καὶ σύμπαντος τοῦ ἱεροῦ Κλήρου κατέρχονται ἀπὸ πρωΐας εἰς τὴν ἁγίαν Γεθσημανῆν, κἀκεῖ παραμένουσιν ὑπὸ σκηνὰς ἐπὶ τούτῳ ὑπὸ τοῦ ἱεροῦ Μοναστηρίου πεπηγμένας. Διαπερανθείσης δὲ τῆς τῶν Ἀρμενίων λειτουργίας καὶ τῶν πρὸς ὑποδοχὴν ἁπάντων προετοιμασθέντων, ὁ κατὰ καιρὸν Καθηγούμενος τῆς ἁγίας Γεθσημανῆς ἀναγγέλλει τοῦτο τῷ Μακαριωτάτῳ Πατριάρχῃ, ἢ, ἀποδημοῦντος τούτου, τῷ Ἐπιτρόπῳ αὐτοῦ καὶ τοῖς λοιποῖς, οἵτινες τότε μεθ' ἁπάσης τῆς ἀκολουθίας κατέρχονται πρὸς τὸν Θεῖον Ναόν. Ἐνταῦθα δὲ ἐπὶ τῶν ἀνωτάτων πρὸς τῇ θύρᾳ βαθμίδων οἱ μὲν Ἱερεῖς ἐνδεδυμένοι τὰ ἱερὰ ἄμφια καὶ βαστάζοντες τὸ ἱερὸν Εὐαγγέλιον καὶ τὴν σεβασμίαν τῆς Κοιμήσεως Εἰκόνα, οἱ δὲ Ἱεροδιάκονοι βαστάζοντες θυμιατὰ, ἔτι δὲ καὶ οἱ Ἡγούμενοι τῶν τε Ὀρθοδόξων καὶ Ἀρμενίων μετὰ θυμιαμάτων καὶ ῥοδοστάγματος, προϋπαντῶσι τῷ προεξάρχοντι τῶν Ἀρχιερέων, ὅστις, ἐνδυσάμενος τὸν ἱερὸν μανδύαν καὶ λαβὼν τὴν ἀρχιερατικὴν ῥάβδον, προσκυνεῖ καὶ ἀσπάζεται τὸ ἱερὸν Εὐαγγέλιον καὶ τὴν Θεομητορικὴν Εἰκόνα εἶθ' οὕτω λαβὼν ἀναχεῖρας τὸν τίμιον Σταυρὸν, κατέρχεται εὐλογῶν τὸν λαὸν, θυμιώμενος ὑπὸ τῶν Ἱεροδιακόνων, προηγουμένων τῶν Ἱερέων καὶ τῶν Ψαλτῶν ψαλλόντων τὸ Ἀπολυτίκιον «Ἐν τῇ γεννήσει τὴν παρθενίαν ἐφύλαξας, κτλ.», ἑφεπομένων δὲ τῶν λοιπῶν Ἀρχιερέων καὶ σύμπαντος τοῦ ἱεροῦ κλήρου. Ἐπειδὰν δὲ γένωνται εἰς τὸ μέσον τοῦ Ναοῦ, ὁ Ἀρχιερεὺς εὐλογεῖ ὡς συνήθως, ψαλλόντων τῶν Ψαλ-

τῶν τὸ «Εἰς πολλὰ ἔτη Δέσποτα». Ἀνελθόντος δὲ τούτου ἔπειτα εἰς τὸν ἐπὶ τούτῳ διωρισμένον θρόνον, ἀσπάζονται τὴν δεξιὰν αὐτοῦ ἀμφότεροι οἱ Ἡγούμενοι, καὶ ἀρχομένων τῶν Ψαλτῶν ψάλλειν ἀργῶς καὶ μετὰ μέλους τὸ «Τὸν Δεσπότην κτλ.»· λαμβάνει καιρὸν ἅπαν τὸ πρεσβυτέριον, καὶ ἐνδύεται τὰς ἱερατικὰς αὐτοῦ στολάς· οἱ δὲ λοιποὶ Ἀρχιερεῖς ἐνδύονται ἐπιτραχήλιον καὶ ὠμόφορον· ὁ δὲ προεξάρχων Ἀρχιερεύς, ψαλλομένου τοῦ «Ἄνωθεν οἱ Προφῆται», εἰσέρχεται εἰς τὸ Καθολικὸν καὶ ἐνδύεται σύμπασαν τὴν Ἀρχιερατικὴν στολήν, καὶ μετὰ τοῦτο θυμιᾷ κυκλοειδῶς τὴν ἐν τῷ μέσῳ κειμένην ἱερὰν τῆς Ὑπεραγίας Θεοτόκου Κλίνην, καὶ ποιεῖ Εὐλογητόν. Ψαλλόντων δὲ τῶν Ψαλτῶν τὸ «Τρισάγιον κτλ.», αἴρουσι τὴν Κλίνην οἱ Ἱερεῖς καὶ μεταφέρουσι κάτωθεν τοῦ Πολυελαίου ἐν τῷ μέσῳ τοῦ Ναοῦ, ἀντικρὺ τοῦ ἱεροῦ Κουβουκλίου, ἣν περικυκλοῦσιν ἅπαν τὸ ἱερατεῖον. Τότε δὴ ὁ προεξάρχων Ἀρχιερεὺς εἰσέρχεται ἐντὸς τοῦ Θεομητορικοῦ Μνήματος, καὶ θυμιάσας ἄρχεται ψάλλειν ἐμμελῶς τὸ «Ἡ ζωὴ ἐν τάφῳ κτλ.»· ἐξελθὼν δὲ θυμιᾷ σταυροειδῶς τὴν Κλίνην, ἀκολούθως ἅπαν τὸ ἱερατεῖον καὶ τὸν λαόν. Συμπληρωθείσης τῆς Α΄. στάσεως, γίνεται αἴτησις, καὶ ὁ δεύτερος τῶν Ἀρχιερέων θυμιᾷ ἐντὸς τοῦ Θεομητορικοῦ Μνήματος, καὶ ἄρχεται τῆς Β΄. στάσεως, καὶ οὕτω καθεξῆς. Μετὰ δὲ τὴν συμπλήρωσιν τῶν ἐγκωμίων, ψάλλουσι τὰ Εὐλογητάρια, τὸ Ἐξαποστειλάριον, τοὺς Αἴνους καὶ τὴν δοξολογίαν, ὁπότε ὁ κλῆρος κατασπάζεται εὐλαβῶς τὴν ἐπὶ τῆς ἱερᾶς Κλίνης κειμένην τῆς Ἀειπαρθένου Εἰκόνα. Ἀρχομένου δὲ τοῦ «Ἅγιος ὁ Θεός», αἴρουσιν αὖθις τὴν ἱερὰν Κλίνην οἱ Ἱερεῖς, καὶ οὕτως ἀναβαίνουσι τὰς βαθμίδας μέχρι τοῦ τόπου τῆς προϋπαντήσεως, ἔνθα καὶ γίνεται συναπτὴ ἐκτενής, ἐν ᾗ μνημονεύονται τὰ ὀνόματα τῶν πατέρων, καὶ ἁπάντων τῶν εὐσεβῶν καὶ ὀρθοδόξων προσκυνητῶν τοῦ ζωοδόχου Τάφου. Μετὰ δὲ ταῦτα, εὐλογεῖ ὁ Ἀρχιερεὺς τὸν λαὸν καὶ ψαλέντος τοῦ «Εἰς πολλὰ ἔτη Δέσποτα», κατέρχονται ψάλλοντες τὸ «Ἀπόστολοι ἐκ περάτων κτλ.», καθὼς καὶ τὰ λοιπὰ τροπάρια τὰ ἐν τῷ τέλει τῆς Ἀκολουθίας φερόμενα· τούτων δὲ οὕτω περαιωθέντων, ἐναποτιθέασιν αὖθις ἐν τῷ Καθολικῷ τὴν ἱερὰν Κλίνην, καὶ γενομένης παρὰ τοῦ Ἀρχιερέως τῆς ἀπολύσεως, ἀνέρχεται σύμπας ὁ ἱερὸς κλῆρος εἰς τὰς παρεσκευασμένας σκηνάς, ὅπου μεταλαμβάνουσι σύκων γωπῶν μετὰ ἄρτου. Καὶ ἡ μὲν ἱερὰ τῆς Θεομήτορος Κλίνη ἵσταται ἐν τῷ ῥηθέντι τόπῳ μέχρι τῆς ἀποδόσεως τῆς ἑορτῆς ἤτοι τῇ κδ΄. τοῦ Αὐγούστου καθ' ἃς ἡμέρας κατερχόμενοι πολλοὶ τῶν Ὀρθοδόξων καὶ ἑτεροδόξων καὶ αὐτῶν ἔτι τῶν Ὀθωμανῶν, κατασπάζονται αὐτὴν καὶ διέρχονται ὑποκάτωθεν αὐτῆς χάριν εὐλαβείας· ἡ δὲ Εἰκὼν τῆς Κυρίας ἡμῶν Θεοτόκου μετὰ τὸ τέλος τῆς ἱερᾶς Λειτουργίας τουτέστι κατ' αὐτὴν τὴν ἡμέραν τῆς ἀποδόσεως μεταφέρεται μετὰ λαμπάδων καὶ θυμιαμάτων εἰς τὸ ἀπέναντι τοῦ Παναγίου καὶ Ζωοδόχου Τάφου κείμενον Μετόχιον τῆς ἁγίας Γεθσημανῆς, ἀκολουθοῦντος παντὸς τοῦ Χριστεπωνύμου πληρώματος αἰνοῦντος καὶ εὐλογοῦντος τὴν Ὑπέραγνον τοῦ Θεοῦ ἡμῶν Μητέρα, καὶ τῆς χαρᾶς τοῦ Κόσμου τὴν πρόξενον.

# ΕΓΚΩΜΙΑ

## ΕΙΣ ΤΗΝ ΜΕΤΑΣΤΑΣΙΝ
## ΤΗΣ ΥΠΕΡΑΓΙΑΣ ΔΕΣΠΟΙΝΗΣ ΗΜΩΝ
## ΘΕΟΤΟΚΟΥ ΚΑΙ ἈΕΙΠΑΡΘΕΝΟΥ
## ΜΑΡΙΑΣ

Ἦχος πλ. ά.

**Η** Ἁγνὴ ἐν τάφῳ, κατετέθης βαβαὶ, ἡ Θεὸν ἐν τῇ γαστρί σου χωρήσασα, καὶ κυήσασα ἀφράστως ἐπὶ γῆς·

Μακάριοι οἱ ἄμωμοι ἐν ὁδῷ, οἱ πορευόμενοι ἐν νόμῳ Κυρίου.

**Μ**αριὰμ πῶς θνήσκεις; πῶς τῷ τάφῳ οἰκεῖς, τῆς ζωῆς τὸν χορηγὸν ἡ γεννήσασα, τὸν νεκροὺς ἐξαναστήσαντα φθορᾶς;

Μακάριοι οἱ ἐξερευνῶντες τὰ μαρτύρια αὐτοῦ.

**Μ**έτρα γῆς ὁ στήσας, Θεὸς Λόγος ἁγνὴ, χωρητὸς τῇ σῇ νηδύϊ ἐγένετο· πῶς ἐν τάφῳ σμικροτάτῳ σὺ χωρεῖς;

Οὐ γὰρ οἱ ἐργαζόμενοι τὴν ἀνομίαν ἐν ταῖς ὁδοῖς αὐτῶν ἐπορεύθησαν.

**Τ**ὸν ὡραῖον κάλλει, παρὰ πάντας βροτοὺς, ἡ γεν-

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

νήσασα ἀνείδεος φαίνεται, ὑποκύπτουσα θεσμοῖς τοῖς φυσικοῖς·

Σὺ ἐνετείλω τὰς ἐντολάς σου τοῦ φυλάξασθαι σφόδρα.

**Δ**ιὰ σοῦ ὁ ᾅδης, ἐγυμνώθη Σεμνὴ, καὶ ἡμεῖς δόξαν Θεοῦ ἐνεδύθημεν· πῶς οὖν κύπτεις τοῖς τῆς φύσεως θεσμοῖς;

Ὄφελον κατευθυνθείησαν αἱ ὁδοί μου τοῦ φυλάξασθαι τὰ δικαιώματά σου.

**Δ**ιὰ σοῦ τὸ κέντρον, τοῦ θανάτου Σεμνὴ, συνετρίβη καὶ φθορᾶς ἀπηλλάγημεν· πῶς οὖν θνήσκεις καὶ λογίζῃ ἐν νεκροῖς;

Τότε οὐ μὴ αἰσχυνθῶ ἐν τῷ με ἐπιβλέπειν ἐπὶ πάσας τὰς ἐντολάς σου.

**Χ**ώραν ἀχωρήτου, τοῦ Θεοῦ Μαριὰμ, χρηματίσασαν καὶ ἅγιον τέμενος, νῦν καλύπτει σε ἀγρὸς Γεθσημανῆς·

Ἐξομολογήσομαί σοι ἐν εὐθύτητι καρδίας, ἐν τῷ μεμαθηκέναι με τὰ κρίματα τῆς δικαιοσύνης σου.

**Υ**πὸ γῆν κατῆλθες, ἐπὶ γῆς τὸν Χριστὸν, ἡ κυήσασα ὡς βρέφος Θεόνυμφε, ἵνα σώσῃ ἐκ θανάτου τοὺς βροτούς·

Τὰ δικαιώματά σου φυλάξω, μή με ἐγκαταλίπῃς ἕως σφόδρα.

**Α**πορεῖ καὶ φύσις, καὶ πληθὺς νοερὰ, τὸ ἐν σοὶ Παρθενομῆτορ μυστήριον, τῆς ἐνδόξου καὶ ἀῤῥήτου σου ταφῆς·



Ἐν τίνι κατορθώσει νεώτερος τὴν ὁδὸν αὐτοῦ; ἐν τῷ φυλάξασθαι τοὺς λόγους σου

**Ω** θαυμάτων ξένων, ὢ πραγμάτων καινῶν! ἡ πνοῆς μου τὸν δοτῆρα κυήσασα, ἄπνους κεῖται καὶ κηδεύεται νεκρά·

Ἐν ὅλῃ καρδίᾳ μου ἐξεζήτησά σε· μὴ ἀπώσῃ με ἀπὸ τῶν ἐντολῶν σου.

**Α**ποστόλων δῆμος, θεαρχίῳ βουλῇ, πρὸς σὲ ἧκει μεταρσίως αἰρόμενος, τοῦ κηδεῦσαί σου τὸ σῶμα τὸ σεπτόν·

Ἐν τῇ καρδίᾳ μου ἔκρυψα τὰ λόγιά σου, ὅπως ἂν μὴ ἁμάρτω σοι.

**Ν**οερῶν συντρέχει, στρατιῶν ἡ πληθὺς, Ἀποστόλοις σὺν ἁγίοις κηδεῦσαί σε, τὴν Πανάχραντον Μητέρα τοῦ Θεοῦ·

Εὐλογητὸς εἶ Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

**Ε**ξουσίαι, Θρόνοι, Χερουβὶμ, Σεραφὶμ, Κυριότητες, Ἀρχαὶ σὺν Δυνάμεσι, τὴν σὴν κοίμησιν ὑμνοῦσιν εὐλαβῶς·

Ἐν τοῖς χείλεσί μου ἐξήγγειλα πάντα τὰ κρίματα τοῦ στόματός σου.

**Θ**νήσκεις νεκρωθεῖσα, ἀνθρωπίνῳ θεσμῷ, ἡ τῆς φύσεως τοὺς ὅρους νικήσασα, τῷ σῷ τόκῳ Μητροπάρθενε Ἁγνή·

Ἐν τῇ ὁδῷ τῶν μαρτυρίων σου ἐτέρφθην, ὡς ἐπὶ παντὶ πλούτῳ.

**Ν**οεραί σε τάξεις, ἡπλωμένην νεκρὰν, ὅτε εἶδον ἐκ-

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

πλαγεῖσαι Πανάχραντε, ἐκαλύπτοντο ταῖς πτέρυξιν αὐτῶν·

Ἐν ταῖς ἐντολαῖς σου ἀδολεσχήσω, καὶ κατανοήσω τὰς ὁδούς σου.

**Ὕ**μνοις οὐρανίοις, ἐμελῴδουν Σεμνή, τὴν τριήμερον ταφήν σου οἱ ἄγγελοι, καὶ τὴν δόξαν ἐμεγάλυνον τὴν σήν·

Ἐν τοῖς δικαιώμασί σου μελετήσω, οὐκ ἐπιλήσομαι τῶν λόγων σου.

**Ο**ὐρανὸς ὡς ἄλλος, ἀνεδείχθη Ἁγνή, δεξαμένη τὸ σὸν σκῆνος τὸ ἄχραντον, ἡ ἁγία καὶ σεπτὴ Γεθσημανή·

Ἀνταπόδος τῷ δούλῳ σου· ζῆσόν με, καὶ φυλάξω τοὺς λόγους σου.

**Ὅ**που γὰρ τὸ σκῆνος, τῆς Μητρὸς τοῦ Θεοῦ, κατοικεῖ, ἐκεῖ χορεῖαι αὐλίζονται, οὐρανίων οὐσιῶν πανευλαβῶς·

Ἀποκάλυψον τοὺς ὀφθαλμούς μου, καὶ κατανοήσω τὰ θαυμάσια ἐκ τοῦ νόμου σου,

**Τ**ὴν γὰρ σὴν γαστέρα, ὁ Υἱὸς τοῦ Θεοῦ, πλατυτέραν οὐρανῶν ἀπειργάσατο, καὶ τὴν μήτραν θρόνον θεῖον ἀληθῶς·

Πάροικος ἐγώ εἰμι ἐν τῇ γῇ, μὴ ἀποκρύψῃς ἀπ᾿ ἐμοῦ τὰς ἐντολάς σου.

**Τ**οὺς τοῦ Λόγου μύστας, θάμβος εἶχεν Ἁγνή, σὲ νεκρὰν οὖσαν καὶ ἄφωνον βλέποντας, χρηματίσασαν μητέρα τῆς ζωῆς·



Ἐπεπόθησεν ἡ ψυχή μου τοῦ ἐπιθυμῆσαι τὰ κρίματά σου ἐν παντὶ καιρῷ.

**Τ**άφος μὲν καλύπτει, τὸ σὸν σκῆνος Ἁγνή, τὴν δὲ θείαν σου ψυχὴν χειριζόμενος, ὁ Υἱός σου ἀγκαλίζεται λαμπρῶς·

Ἐπετίμησας ὑπερηφάνοις· ἐπικατάρατοι οἱ ἐκκλίνοντες ἀπὸ τῶν ἐντολῶν σου.

**Β**ασιλὶς καὶ πόλου, καὶ τῆς γῆς ἀληθῶς, εἰ καὶ τάφῳ σμικροτάτῳ συγκέκλεισαι, ἐγνωρίσθης πάσῃ κτίσει Μαριάμ·

Περίελε ἀπ᾿ ἐμοῦ ὄνειδος καὶ ἐξουδένωσιν, ὅτι τὰ μαρτύριά σου ἐξεζήτησα.

**Ν**ύμφην τοῦ Ὑψίστου, καὶ Μητέρα σαφῶς, Ἰησοῦ τοῦ Θεοῦ Λόγου γινώσκομεν, κἂν ἐν τάφῳ σε ὁρῶμεν ὡς φθαρτήν·

Καὶ γὰρ ἐκάθισαν ἄρχοντες, καὶ κατ᾿ ἐμοῦ κατελάλουν· ὁ δὲ δοῦλός σου ἠδολέσχει ἐν τοῖς δικαιώμασί σου.

**Ἄ**νθος ἀφθαρσίας, καὶ Μητέρα Θεοῦ, οἴδαμέν σε καὶ κηρύττομεν Ἄχραντε, κἂν ἐν τάφῳ σε ὁρῶμεν ὡς θνητήν·

Καὶ γὰρ τὰ μαρτύριά σου μελέτη μου ἐστί, καὶ αἱ συμβουλίαι μου τὰ δικαιώματά σου.

**Κ**λεὶς τῆς βασιλείας, τοῦ Θεοῦ ἀληθῶς, ἐγνωρίσθης



ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ

τοῖς πιστοῖς Ἀειπάρθενε, κἂν ὁ τάφος σε καλύπτει ὡς νεκράν·

Ἐκολλήθη τῷ ἐδάφει ἡ ψυχή μου· ζῆσόν με κατὰ τὸν λόγον σου.

**Π**ύλη σωτηρίας, ἐγενήθης ἡμῖν, ἀρχηγός τε νοητῆς ἀναπλάσεως, κἂν ὑπείκεις τῇ τῆς φύσεως φθορᾷ·

Τὰς ὁδούς μου ἐξήγγειλα, καὶ ἐπήκουσάς μου· δίδαξόν με τὰ δικαιώματά σου.

**Σ**τάμνον τὴν τὸ μάννα, δεξαμένην τὸ πρὶν, τὸ οὐράνιον ὁ τάφος σε δέχεται, νῦν Παρθένε τὴν αἰτίαν τῆς ζωῆς·

Ὁδὸν δικαιωμάτων σου συνέτισόν με, καὶ ἀδολεσχήσω ἐν τοῖς θαυμασίοις σου.

**Ρ**άβδος ἡ τὸ ἄνθος, τὸ εὐῶδες Χριστὸν, ἐξανθήσασα τῷ τάφῳ νῦν τέθαπται, ἵνα φύσῃ σωτηρίας τὸν καρπόν·

Ἐνύσταξεν ἡ ψυχή μου ἀπὸ ἀκηδίας, βεβαίωσόν με ἐν τοῖς λόγοις σου.

**Π**αρὰ τὴν κοιλάδα, τοῦ κλαυθμῶνος τὸ σὸν, κατετέθη σκῆνος Ἄχραντε σύμβολον, παρακλήσεως κλαιόντων τῆς ἐκ σοῦ·

Ὁδὸν ἀδικίας ἀπόστησον ἀπ᾿ ἐμοῦ, καὶ τῷ νόμῳ σου ἐλέησόν με.

**Ε**νθα γὰρ ἡ κρίσις, ζώντων τε καὶ νεκρῶν, τὸ σὸν



σκῆνος κατετέθη Πανάμωμε, ὡς δυσώπησις μεγίστη τοῦ Κριτοῦ.

Ὁδὸν ἀληθείας ἡρετισάμην, καὶ τὰ κρίματά σου οὐκ ἐπελαθόμην.

**Σ**ὺ γὰρ μόνη πέλεις, ἐν θνητοῖς ἀληθῶς, ἀναστάσεως τὸν τύπον ἐκλάμπουσα, σὺ καὶ μόνη τῶν πταιόντων ἱλασμός·

Ἐκολλήθην τοῖς μαρτυρίοις σου, Κύριε, μή με καταισχύνῃς.

**Θ**ρόνος τοῦ Ὑψίστου, γενομένη Ἁγνὴ, ἀπὸ γῆς πρὸς οὐρανὸν μεταβέβηκας, μεταστᾶσα εἰς αἰώνιον ζωήν·

Ὁδὸν ἐντολῶν σου ἔδραμον, ὅταν ἐπλάτυνας τὴν καρδίαν μου.

**Η**νίκα ἐπέστη, Ἀποστόλων πληθὺς, τῇ κηδεύσει σου βοῶντες ἐκόπτοντο, τὴν σὴν στέρησιν θρηνοῦντες γοερῶς·

Νομοθέτησόν με, Κύριε, τὴν ὁδὸν τῶν δικαιωμάτων σου, καὶ ἐκζητήσω αὐτὴν διὰ παντός.

**Τ**ὸν ἐχθρὸν σῷ τόκῳ, θανατώσασα πρὶν, ἀθανάτους εἰς σκηνὰς μεταβέβηκας, νεκρωθεῖσα νόμῳ φύσεως βροτῶν·

Συνέτισόν με, καὶ ἐξερευνήσω τὸν νόμον σου, καὶ φυλάξω αὐτὸν ἐν ὅλῃ καρδίᾳ μου.

**Ε**χαιρον χορεῖαι, οὐρανίων νοῶν, ἀπὸ γῆς σε φερομένην δεχόμεναι, εἰς οὐράνια σκηνώματα Ἁγνή·

Ὁδήγησόν με ἐν τῇ τρίβῳ τῶν ἐντολῶν σου, ὅτι αὐτὴν ἠθέλησα.

Ὡς ἔτεκες πάλαι, ὑπὲρ λόγον καὶ νοῦν, οὕτω καὶ μετέστης νῦν Ἄχραντε, παραδόξως ἀπὸ γῆς εἰς οὐρανούς·

Κλῖνον τὴν καρδίαν μου εἰς τὰ μαρτύριά σου, καὶ μὴ εἰς πλεονεξίαν.

Τέρπονται Παρθένε, οὐρανός τε καὶ γῆ· διὰ γάρ σου τῆς ἑνώσεως ἔτυχον, ὑψωθείσης εἰς τὰ ἄνω θαυμαστῶς.

Ἀπόστρεψον τοὺς ὀφθαλμούς μου τοῦ μὴ ἰδεῖν ματαιότητα, ἐν τῇ ὁδῷ σου ζῆσόν με.

Περιβεβλημένη, νῦν παρέστης Θεῷ, καὶ πεποικιλμένη ἐν χάρισιν, ὡς βασίλισσα καὶ Μήτηρ τοῦ Θεοῦ·

Στῆσον τῷ δούλῳ σου τὸ λόγιόν σου, εἰς τὸν φόβον σου.

Ἄγγελος Κυρίου, πρὸ τριῶν ἡμερῶν, παραγίνεται πρὸς σὲ τὴν Πανάμωμον, τὴν μετάστασιν γνωρίζων σοι τὴν σήν·

Περίελε τὸν ὀνειδισμόν μου, ὃν ὑπώπτευσα, ὅτι τὰ κρίματά σου χρηστά.

Προσκομίζει κλάδον, φοινικός σοι Σεμνή, σύμβολον τῆς σῆς ἀνυψώσεως, ὁ Ἀρχάγγελος πεμφθεὶς ἐξ οὐρανοῦ·

Ἰδοὺ ἐπεθύμησα τὰς ἐντολάς σου, ἐν τῇ δικαιοσύνῃ σου ζῆσόν με.

Ὢ χαρᾶς ἀπείρου, ἧς ἐπλήσθης Ἁγνή, τοῦ Ἀγγέλου Γαβριὴλ σοι μηνύσαντος, τὴν μετάστασιν τὴν σὴν πρὸς οὐρανόν·



Καὶ ἔλθοι ἐπ' ἐμὲ τὸ ἔλεός σου, Κύριε, τὸ σωτήριόν σου κατὰ τὸν λόγον σου.

Κλίνουσι τοὺς κλάδους, τὰ τοῦ ὄρους φυτά, καὶ προσνέμουσι τὸ σέβας Πανάχραντε, ὡς Δεσποίνῃ σοι πληροῦντα τὴν τιμήν·

Καὶ ἀποκριθήσομαι τοῖς ὀνειδίζουσί μοι λόγον, ὅτι ἤλπισα ἐπὶ τοῖς λόγοις σου.

Ἀσωμάτων στίφη, οὐρανόθεν Σεμνή, τῇ Σιὼν πανευλαβῶς παραγίνεται, σὺν Δεσπότῃ τῷ οἰκείῳ ἐπὶ σέ·

Καὶ μὴ περιέλῃς ἐκ τοῦ στόματός μου λόγον ἀληθείας ἕως σφόδρα, ὅτι ἐπὶ τοῖς κρίμασί σου ἐπήλπισα.

Τῇ σεπτῇ ἐμψύχῳ, τοῦ Θεοῦ κιβωτῷ, τοῦ τολμήσαντος προσψαῦσαι ἀπέκοψεν, ὁ Ἀρχάγγελος τὰς χεῖρας τρομερῶς·

Καὶ φυλάξω τὸν νόμον σου διὰ παντός, εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Δάκρυσι καὶ θρήνοις, γοεροῖς ἐπὶ σοί, πᾶσαι αἱ σαὶ φίλαι ἐκόπτοντο, τὴν μετάστασιν μὴ φέρουσαι τὴν σήν·

Καὶ ἐπορευόμην ἐν πλατυσμῷ, ὅτι τὰς ἐντολάς σου ἐξεζήτησα.

Ὡς ἐκεῖναι τότε, καὶ ἡμεῖς νῦν θερμῶς, ἱκετεύομεν

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΤΑΜΑΤΙΟΣ ΚΑΙ ΒΙΚΤΩΡ ΠΑΠΑΣ

τοὺς δούλους σου Δέσποινα, μεταστᾶσα μὴ ἐάσῃς ὀρφανούς·

Καὶ ἐλάλουν ἐν τοῖς μαρτυρίοις σου ἐναντίον βασιλέων, καὶ οὐκ ᾐσχυνόμην.

Νεῦσον οὐρανόθεν, καὶ ἡμῖν τοῖς ἐν γῇ, καὶ κατάπεμψον τὸ ἄπειρον ἔλεος, τοῖς τιμῶσί σου τὴν κοίμησιν Ἁγνή·

Καὶ ἐμελέτων ἐν ταῖς ἐντολαῖς σου, ἃς ἠγάπησα σφόδρα.

Ὦ χαρίτων βρύσις, ὢ θαυμάτων πηγή, ὡς ἀμέτρητον τὸ ἔλεος ἔχουσα, μὴ ἐλλείπῃς κατοικτείρουσα ἡμᾶς·

Καὶ ἦρα τὰς χεῖράς μου πρὸς τὰς ἐντολάς σου, ἃς ἠγάπησα, καὶ ἠδολέσχουν ἐν τοῖς δικαιώμασί σου.

Προφητῶν ἁπάντων, νῦν πληροῦνται ἐν σοί, αἱ προῤῥήσεις Παναμώμητε Δέσποινα, μεταστάσῃ εἰς τὴν ἄληκτον ζωήν·

Μνήσθητι τῶν λόγων σου τῷ δούλῳ σου, ὧν ἐπήλπισάς με.

Νῦν παρέστης ὄντως, καθὼς ψάλλει Δαβίδ, ὁ προπάτωρ σου Πανύμνητε Δέσποινα, ὡς βασίλισσα τῷ θρόνῳ τοῦ Θεοῦ·

Αὕτη με παρεκάλεσεν ἐν τῇ ταπεινώσει μου, ὅτι τὸ λόγιόν σου ἔζησέ με.

Ἔδει γάρ σε ὄντως, ἀνελθεῖν εἰς μονάς, οὐρανίους



καὶ σκηνώματα σύσσωμον, ὡς παστάδα Θεοῦ Λόγου καὶ σκηνήν·

Ὑπερήφανοι παρηνόμουν ἕως σφόδρα, ἀπὸ δὲ τοῦ νόμου σου οὐκ ἐξέκλινα.

Ὁ Θωμᾶς ἐλείφθη, τῆς κηδείας τῆς σῆς, κατὰ θείαν εὐδοκίαν Πανάχραντε, ὅπως γνῶμεν τὴν μετάστασιν τὴν σήν·

Ἐμνήσθην τῶν κριμάτων σου ἀπ' αἰῶνος, Κύριε, καὶ παρεκλήθην.

Προσκυνῆσαι θέλων, καὶ αὐτὸς εὐλαβῶς, τὸ πανάχραντον καὶ ἅγιον σκῆνός σου, εὗρε τούτου γε τὸν τάφον σου κενόν·

Ἀθυμία κατέσχε με ἀπὸ ἁμαρτωλῶν τῶν ἐγκαταλιπανόντων τὸν νόμον σου.

Πιστοὶ πάντες δεῦτε, καὶ ἡμεῖς εὐλαβῶς, τῇ κηδεύσει τῆς Δεσποίνης συνδράμωμεν, ἀπαιρούσης ἀπὸ γῆς πρὸς οὐρανόν.

Ψαλτὰ ἦσάν μοι τὰ δικαιώματά σου ἐν τόπῳ παροικίας μου.

Ἐξοδίοις ὕμνοις, καὶ ἡμεῖς τὴν ταφήν, τῆς Πανάγνου εὐλαβῶς ἀνυμνήσωμεν, σὺν ἀνδράσι θεολήπτοις ψαλμικῶς.

Ἐμνήσθην ἐν νυκτὶ τοῦ ὀνόματός σου, Κύριε, καὶ ἐφύλαξα τὸν νόμον σου.

Τράπεζα ἡ θεία, ἡ βαστάσασα πρίν, εὐθηνίας ἐλα-

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΚΛΗΡΟΔΟΤΗΜΑ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

σμὸν νῦν μεθίσταται, εἰς σκηνώματα τὰ θεῖα τῆς τρυφῆς·

Αὕτη ἐγενήθη μοι, ὅτι τὰ δικαιώματά σου ἐξεζήτησα.

**Η** χρυσῆ λυχνία, ἡ τὸ ἄχρονον φῶς, δεξαμένη νῦν εἰς ὕψος ἀνάγεται, εἰς σκηνὴν τὴν ἐνδοτέραν τοῦ Θεοῦ·

Μερίς μου εἶ, Κύριε, εἶπα τοῦ φυλάξασθαι τὸν νόμον σου.

**Κ**λίμαξ ἡ ἁγία, ἣν προεῖδε σαφῶς, Ἰακὼβ δι' ἧς κατέβη ὁ Ὕψιστος, ἀνυψοῦται ἀπὸ γῆς πρὸς οὐρανόν·

Ἐδεήθην τοῦ προσώπου σου ἐν ὅλῃ καρδίᾳ μου, ἐλέησόν με κατὰ τὸ λόγιόν σου.

**Γ**έφυρα ὑψοῦται, ἡ μετάγουσα πρὶν, ἐκ θανάτου πρὸς ζωὴν τὴν ἀκήρατον, τοὺς θανέντας παραβάσει τοῦ Ἀδάμ.

Διελογισάμην τὰς ὁδούς σου, καὶ ἐπέστρεψα τοὺς πόδας μου εἰς τὰ μαρτύριά σου.

**Ν**ῦν οὖν συγχορεύει, οὐρανοῖς τὰ ἐν γῇ, καὶ ἀνθρώποις συναυλίζονται Ἄγγελοι, σοῦ Παρθένε μεταστάσης πρὸς Θεόν·

Ἡτοιμάσθην, καὶ οὐκ ἐταράχθην, τοῦ φυλάξασθαι τὰς ἐντολάς σου.

**Η** λαμπὰς ἡ θεία, τοῦ ἀῤῥήτου φωτὸς, φρυκτωροῦσα οὐρανόθεν τοὺς δούλους σου, μὴ ἐλλείπῃς Ἀγαθὴ τοὺς ἐπὶ γῆς·



Σχοινία ἁμαρτωλῶν περιεπλάκησάν μοι, καὶ τοῦ νόμου σου οὐκ ἐπελαθόμην.

**Ω**ς νεφέλη κούφη, ὑψουμένη Ἁγνὴ, μεταρσίως πρὸς Θεὸν τῶν χαρίτων σου, ἀεὶ ῥαῖνε τὰς ψεκάδας ἐφ' ἡμᾶς·

Μεσονύκτιον ἐξηγειρόμην, τοῦ ἐξομολογεῖσθαί σοι ἐπὶ τὰ κρίματα τῆς δικαιοσύνης σου.

**Ε**ν εὐδίῳ ὅρμῳ, τῆς ἀῤῥήτου χαρᾶς, νῦν ὁρμοῦσα ἐπικούρει Θεόνυμφε, καὶ ἡμῖν χειμαζομένοις ἐπὶ γῆς·

Μέτοχος ἐγώ εἰμι πάντων τῶν φοβουμένων σε, καὶ τῶν φυλασσόντων τὰς ἐντολάς σου.

**Ε**ν σκηναῖς Ὑψίστου, κατοικοῦσα Ἁγνὴ, τὴν σκηνὴν ἐν ᾗ Θεὸς μεγαλύνεται, ἐν γῇ σκέπε λυτρουμένη πειρασμῶν·

Τοῦ ἐλέους σου, Κύριε, πλήρης ἡ γῆ, τὰ δικαιώματά σου δίδαξόν με.

**Β**ασιλέων σκῆπτρα, ὀρθοδόξων Ἁγνὴ, καὶ λαοῦ σου εὐσεβοῦς κέρας κράτυνον, ὡς δεσπόζουσα ἁπάντων τῶν κτιστῶν·

Χρηστότητα ἐποίησας μετὰ τοῦ δούλου σου, Κύριε, κατὰ τὸν λόγον σου.

**Ω**σπερ ἐπὶ πόλον, οὐρανοῦ, Ἀγαθὴ, τὸν ἀσάλευτον ὁρῶσιν οἱ πλέοντες, οὕτω πάντες ἀτενίζομεν πρὸς σέ.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΔΩΡΕΑ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Χρηστότητα καὶ παιδείαν καὶ γνῶσιν δίδαξόν με, ὅτι ταῖς ἐντολαῖς σου ἐπίστευσα.

Ἱερέων πέλεις, καύχημα εὐλαβῶν, Ἐκκλησίας τὸ ἀκράδαντον στήριγμα, καὶ ὁσίων ἀσκητῶν ἡ ἀρωγός·

Πρὸ τοῦ με ταπεινωθῆναι, ἐγὼ ἐπλημμέλησα· διὰ τοῦτο τὸ λόγιόν σου ἐφύλαξα.

Καὶ Θεοῦ Μητέρα, καὶ Παρθένον Ἁγνὴν, οἱ ὀρθόδοξοι ἀεί σε κηρύττομεν, καὶ δοξάζομεν τὸ κράτος σου Σεμνή·

Χρηστὸς εἶ σὺ, Κύριε, καὶ ἐν τῇ χρηστότητί σου δίδαξόν με τὰ δικαιώματά σου..

Ποταμοὺς χαρίτων, ἀναβρύει ἡμῖν, ὁ σὸς τάφος καὶ πηγάζει ἰάματα, κἂν τοῦ σκήνους σου ὁρᾶται νῦν κενός·

Ἐπληθύνθη ἐπ' ἐμὲ ἀδικία ὑπερηφάνων, ἐγὼ δὲ ἐν ὅλῃ καρδίᾳ μου ἐξερευνήσω τὰς ἐντολάς σου.

Ἐπὶ σὲ θαῤῥοῦμεν, οἱ πιστοὶ ἀσφαλῶς, ὡς πρεσβείαν σε πρὸς Κύριον ἔχοντες, ἀπροσμάχητον καὶ σκέπην κραταιάν·

Ἐτυρώθη ὡς γάλα ἡ καρδία αὐτῶν, ἐγὼ δὲ τὸν νόμον σου ἐμελέτησα.

Κοινωνοὺς γενέσθαι, καὶ ἡμᾶς Ἀγαθὴ, βασιλείας τοῦ Υἱοῦ σου ἀξίωσον, μεσιτεύουσα ἀλήκτως πρὸς αὐτόν.



Ἀγαθόν μοι ὅτι ἐταπείνωσάς με, ὅπως ἂν μάθω τὰ δικαιώματά σου.

Εἰ γὰρ παραβάται, τῶν αὐτοῦ ἐντολῶν, καθ' ἑκάστην ἀνοήτως γινόμεθα, ἀλλ' οὐδέ ποτε ἀρνούμεθα αὐτόν.

Ἀγαθός μοι ὁ νόμος τοῦ στόματός σου ὑπὲρ χιλιάδας χρυσίου καὶ ἀργυρίου.

Ἀγαθὴ γὰρ ὄντως, Μήτηρ οὖσα Υἱοῦ, ἀγαθοῦ καὶ φιλανθρώπου ἀγάθυνον, ὡς φιλάγαθος Παρθένε καὶ ἡμᾶς·

Δόξα.

Ἀνυμνοῦμεν Λόγε, σὲ τὸν πάντων Θεὸν, σὺν Πατρὶ καὶ τῷ ἁγίῳ σου Πνεύματι, καὶ δοξάζομεν οἱ πάντες εὐσεβῶς·

Καὶ νῦν.

Μακαρίζομέν σε Θεοτόκε Ἁγνὴ, καὶ τιμῶμεν τὴν ἁγίαν σου κοίμησιν, καὶ τὴν ὕψωσιν ἐκ γῆς πρὸς οὐρανόν·

Η Ἁγνὴ ἐν τάφῳ, κατετέθης βαβαὶ, ἡ Θεὸν ἐν τῇ γαςρί σου χωρήσασα, καὶ κυήσασα ἀφράςως ἐπὶ γῆς·

Συναπτὴ μικρὰ, καὶ ἐκφώνησις.

Ὅτι ηὐλόγηταί σου τὸ ὄνομα, καὶ δεδόξασταί σου ἡ βασιλεία, τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· Ἀμήν.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

## ΣΤΑΣΙΣ ΔΕΥΤΕΡΑ.

Ἄρχεται ὁ ἀριστερὸς χορὸς τοῦ τροπαρίου·

Ἦχος ὁ αὐτός.

**Ἄ**ξιόν ἐστι, μεγαλύνειν σε τὴν Θεοδόχον, τὴν τῶν ἀρετῶν ταμεῖον ὑπάρξασαν, καὶ χαρίτων ἁπασῶν τῶν τοῦ Θεοῦ.

Αἱ χεῖρές σου ἐποίησάν με καὶ ἔπλασάν με· συνέτισόν με, καὶ μαθήσομαι τὰς ἐντολάς σου.

**Ο**ἶκος τοῦ Θεοῦ, χρηματίσασα ἡ Θεοτόκος, τοῦ παντὸς τὸν συνοχέα χωρήσασα, νῦν μεθίσταται οἰκεῖν τοὺς οὐρανούς·

Οἱ φοβούμενοί σε ὄψονταί με, καὶ εὐφρανθήσονται, ὅτι εἰς τοὺς λόγους σου ἐπήλπισα.

**Ἤ**ρθης ἀφ' ἡμῶν, ἡ πανσέβαστος Παρθενομήτωρ, ἀλλὰ σοῦ ἡ εὐλογία μεμένηκε, καὶ ἡ χάρις ἐφ' ἡμᾶς τοὺς εὐσεβεῖς·

Ἔγνων, Κύριε, ὅτι δικαιοσύνη τὰ κρίματά σου, καὶ ἀληθείᾳ ἐταπείνωσάς με.

**Κ**λίμαξ ἀληθῶς, ὁ σὸς τάφος γέγονέ σοι Κόρη, δι' ἧς ἀπὸ γῆς μεταβέβηκας, εἰς τὴν ἄληκτον ζωὴν καὶ χαρμονήν·



Γενηθήτω δὴ τὸ ἔλεός σου τοῦ παρακαλέσαι με κατὰ τὸ λόγιόν σου τῷ δούλῳ σου.

**Θ**αῦμα ἀληθῶς, πῶς ἡ ἄνανδρος θηλάζεις βρέφος, πῶς καὶ νεκροφόρος καθίστασαι, ἡ Μητρόθεος ἐκτὸς διαφθορᾶς.

Ἐλθέτωσάν μοι οἱ οἰκτιρμοί σου, καὶ ζήσομαι, ὅτι ὁ νόμος σου μελέτη μου ἐστίν.

**Ἤ**ρω Μαριάμ, κατὰ φύσεως βροτείας νίκην, τὸν Χριστὸν ἀσπόρως κυήσασα, ἀλλὰ θνήσκεις νόμῳ φύσεως βροτῶν·

Αἰσχυνθήτωσαν ὑπερήφανοι, ὅτι ἀδίκως ἠνόμησαν εἰς ἐμέ· ἐγὼ δὲ ἀδολεσχήσω ἐν ταῖς ἐντολαῖς σου.

**Κ**λίμαξ πρὸς Θεόν, ὁ σὸς τάφος Παναγία πέλει, ἄγουσα τοὺς πίστει ὑμνοῦντάς σε, καὶ τιμῶντάς σου τὴν κοίμησιν σεπτῶς.

Ἐπιστρεψάτωσάν με οἱ φοβούμενοί σε, καὶ οἱ γινώσκοντες τὰ μαρτύριά σου.

**Ο**ὕτως ὁ αἰθήρ, ἡγιάσθη σῇ ἀνόδῳ Κόρη, ὥσπερ ἐφωτίσθη τὸ πρότερον, ἡ γῆ πᾶσα ἐν τῷ τόκῳ σου Ἁγνή·

Γενηθήτω ἡ καρδία μου ἄμωμος ἐν τοῖς δικαιώμασί σου, ὅπως ἂν μὴ αἰσχυνθῶ.

**Ὕ**μνους καὶ ᾠδάς, ἐξοδίους ὥσπερ μύρα Κόρη, ἐπικήδειά σοι προσφέροντες, ἐξαιτούμεθα πταισμάτων ἱλασμόν·

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Ἐκλείπει εἰς τὸ σωτήριόν σου ἡ ψυχή μου, εἰς τοὺς λόγους σου ἐπήλπισα.

Οἶκος ὁ παρὼν, ἡ σεπτὴ ἐν ᾧ σορός σου κεῖται, καὶ ψυχῆς καὶ σώματος Ἄχραντε, ἰατρεῖον ἀσφαλὲς ἡμῖν ἐστι.

Ἐξέλιπον οἱ ὀφθαλμοί μου εἰς τὸ λόγιόν σου, λέγοντες· πότε παρακαλέσεις με;

Ἔνθα οἱ χοροὶ, Ἀποστόλων τε καὶ τῶν Ἀγγέλων, ἵσταντο κυκλοῦντες ἐν ᾄσμασι, παριστάμεθα Παρθένε καὶ ἡμεῖς·

Ὅτι ἐγενήθην ὡς ἀσκὸς ἐν πάχνῃ, τὰ δικαιώματά σου οὐκ ἐπελαθόμην.

Ἄγομεν εἰς νοῦν, τὴν παράταξιν ἐκείνην τότε, ἣν τῶν Ἀποστόλων ὁ θίασος, καὶ Ἀγγέλων ἐπετέλει σοι λαμπρῶς·

Πόσαι εἰσὶν αἱ ἡμέραι τοῦ δούλου σου; πότε ποιήσεις μοι ἐκ τῶν καταδιωκόντων με κρίσιν;

Φόβῳ καὶ χαρᾷ, καὶ ἡμεῖς ὥσπερ ἐκεῖνοι τότε, πάρεσμεν τῷ τάφῳ σου Ἄχραντε, ἐκπληττόμενοι τὴν κοίμησιν τὴν σήν·

Διηγήσαντό μοι παράνομοι ἀδολεσχίας, ἀλλ' οὐχ ὡς ὁ νόμος σου Κύριε.

Γόνιμος ὡς γῆ, ἀεὶ δείκνυται Παρθενομῆτορ, πᾶσι τοῖς θερίζειν ἐθέλουσι, σωτηρίαν ἡ σεπτὴ Γεθσημανή·



Πᾶσαι αἱ ἐντολαί σου ἀλήθεια· ἀδίκως κατεδίωξάν με, βοήθησόν μοι.

Κάτω μὲν ὁ σὸς, τοῦ Υἱοῦ σου δὲ ὁ τάφος ἄνω, τῶν πιστῶν Ἁγνὴ τὸν νοῦν αἴρουσι, καὶ ἀνάγουσιν ἐκ γῆς εἰς οὐρανόν·

Παρὰ βραχὺ συνετέλεσάν με ἐν τῇ γῇ, ἐγὼ δὲ οὐκ ἐγκατέλιπον τὰς ἐντολάς σου.

Ὄρος Ἐλαιῶν, ὥσπερ βάθρον ἔχει σου τὸν τάφον, ὡς στεφάνην δ' ἄνωθεν ἔστεπται, ἴχνος Πάναγνε ποδὸς τοῦ σοῦ Υἱοῦ·

Κατὰ τὸ ἔλεός σου ζῆσόν με, καὶ φυλάξω τὰ μαρτύρια τοῦ στόματός σου.

Δῆλον οὖν ἡμῖν, ὦ Παρθένε μὴ ἰσχύειν δίχα, σοῦ τῆς μεσιτρίας ὀρθοβατεῖν, τοῖς πανσέπτοις ἴχνεσι τοῦ Χριστοῦ·

Εἰς τὸν αἰῶνα, Κύριε, ὁ λόγος σου διαμένει ἐν τῷ οὐρανῷ.

Τόμος σὺ καινὸς, ἐν ᾧ γέγραπται ὁ θεῖος λόγος· βίβλῳ τῆς ζωῆς τοὺς ὑμνοῦντάς σε, ἐγγραφῆναι καθικέτευε Ἁγνή·

Εἰς γενεὰν καὶ γενεὰν ἡ ἀλήθειά σου· ἐθεμελίωσας τὴν γῆν, καὶ διαμένει.

Ῥήτορες δεινοὶ, οὐδὲ Ἄγγελοι Παρθενομῆτορ, σθένουσιν ἀξίως ὑμνῆσαί σε, τὴν ὑπέρτιμον Μητέρα τοῦ Θεοῦ·

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Τῇ διατάξει σου διαμένει ἡμέρα, ὅτι τὰ σύμπαντα δοῦλα σά.

**Γ**ῆς ὁ κατ' ἀρχὰς, μόνῳ νεύματι πήξας τὸν γύρον, ἐν γαστρί σου βρέφος ἐχώρησε, καὶ ἐποίησέ σε ἄλλον οὐρανόν.

Εἰ μὴ ὅτι ὁ νόμος σου μελέτη μου ἐστὶ, τότε ἂν ἀπωλόμην ἐν τῇ ταπεινώσει μου.

**Ο**λον τὸν Ἀδὰμ, προσλαμβάνει ἐκ γαστρός σου θέλων, ἐκτεμεῖν ῥιζόθεν παρακοὴν, ὁ Υἱός σου τὴν φυεῖσαν ἐν ἡμῖν·

Εἰς τὸν αἰῶνα οὐ μὴ ἐπιλάθωμαι τῶν δικαιωμάτων σου, ὅτι ἐν αὐτοῖς ἔζησάς με.

**Ν**όμου ἡ σκιὰ, ἐπεπαύθη ὦ Παρθενομῆτορ, νόμου τὸν δοτῆρα τεκούσης σου, τὸν φωτίζοντα ἡμᾶς τοὺς εὐσεβεῖς·

Σός εἰμι ἐγὼ, σῶσόν με, ὅτι τὰ δικαιώματά σου ἐξεζήτησα.

**Ν**όμοι ἐπὶ σὲ, οἱ τῆς φύσεως Ἁγνὴ Παρθένε, σφόδρα παραδόξως καινίζονται, ὡς κυήσασαν Θεὸν Ἐμμανουήλ·

Ἐμὲ ὑπέμειναν ἁμαρτωλοὶ, τοῦ ἀπολέσαι με· τὰ μαρτύριά σου συνῆκα.

**Α**μπελος ἡμῖν, ζωηφόρος ἀνεδείχθης μόνη, φύσασα τὸν βότρυν τὸν πέπειρον, τὸν εὐφραίνοντα ἡμᾶς τοὺς εὐσεβεῖς·



Πάσης συντελείας εἶδον πέρας, πλατεῖα ἡ ἐντολή σου σφόδρα.

**Β**άτον ἐν Σινᾷ, ἀκατάφλεκτον εἶδέ σε πάλαι, Μωϋσῆς γαστρί σου τὸ θεῖον πῦρ, ὡς χωρήσασαν ἀφλέκτως Μαριάμ.

Ὡς ἠγάπησα τὸν νόμον σου, Κύριε, ὅλην τὴν ἡμέραν μελέτη μου ἐςίν.

**Ο**ρος Δανιὴλ, ἀλατόμητον εἶδέ σε Κόρη, ἐξ οὗ ἀχειροτμήτως ὁ ἄτμητος, Χριστὸς τέτμηται ἡ πέτρα τῆς ζωῆς·

Ὑπὲρ τοὺς ἐχθρούς μου ἐσόφισάς με τὴν ἐντολήν σου, ὅτι εἰς τὸν αἰῶνα ἐμή ἐστιν.

**Π**ύλη νοητὴ, τῆς ἐν γῇ φανερωθείσης Κόρη, ἐκ τοῦ ὕψους θείας ἀνατολῆς, ἀνεδείχθης Θεονύμφευτε πιστοῖς·

Ὑπὲρ πάντας τοὺς διδάσκοντάς με συνῆκα, ὅτι τὰ μαρτύριά σου μελέτη μου ἐστίν.

**Φ**ῶς τὸ ἐκ φωτὸς, τοῖς ἐν σκότει καὶ σκιᾷ Παρθένε, τέτοκας τὰ πέρατα φαίνουσα, πλανωμένοις γενομένη ὁδηγός·

Ὑπὲρ πρεσβυτέρους συνῆκα, ὅτι τὰς ἐντολάς σου ἐξεζήτησα.

**Ε**στησας ὁρμὴν, τοῦ θανάτου καὶ φθορᾶς Παρθένε, τὸν Θεὸν ἀσπόρως κυήσασα, τὸν ἀθάνατον δοτῆρα τῆς ζωῆς·



ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Ἐκ πάσης ὁδοῦ πονηρᾶς ἐκώλυσα τοὺς πόδας μου, ὅπως ἂν φυλάξω τοὺς λόγους σου.

**Σ**ῶμα καὶ ψυχὴν, ὑπερένδοξε Ἁγνὴ Παρθένε, ἄσπιλα Θεῷ διετήρησας· δι' ὃ κάλλους σου ἠράσθη ὁ Χριστός·

Ἀπὸ τῶν κριμάτων σου οὐκ ἐξέκλινα, ὅτι σὺ ἐνομοθέτησάς με.

**Σ**τύλος φωταυγὴς, καὶ νεφέλη δροσοφόρος Κόρη, γέγονας δροσίζουσα τὸν φλογμὸν, καὶ φωτίζουσα τὸν ζόφον τῶν παθῶν·

Ὡς γλυκέα τῷ λάρυγγί μου τὰ λόγιά σου, ὑπὲρ μέλι τῷ στόματί μου.

**Ἄ**ρουραν Ἁγνὴ, εὐθηνοῦσαν οἴδαμέν σε πάντες, εὐφορίαν οἰκτιρμῶν ἐκβλαστάνουσαν, καὶ χαρίτων τοῖς προστρέχουσιν εἰς σέ·

Ἀπὸ τῶν ἐντολῶν σου συνῆκα, διὰ τοῦτο ἐμίσησα πᾶσαν ὁδὸν ἀδικίας.

**Σ**τάχυν ἀληθῶς, σὺ ἐβλάστησας τὸν θεῖον Λόγον, οὖσα ὄντως χώρα ἀνήροτος, τὸν τροφέα τῶν ψυχῶν ἡμῶν Ἁγνή·

Λύχνος τοῖς ποσί μου ὁ νόμος σου, καὶ φῶς ταῖς τρίβοις μου.

**Ὄ**ρθρος φαεινὸς, ἐχρημάτισας Παρθένε πᾶσι, φέρουσα ὡς ἥλιον τὸν Χριστὸν, τὸν ἀγνοίας σκότος λύσαντα ἡμῖν·



Ὤμοσα καὶ ἔστησα τοῦ φυλάξασθαι τὰ κρίματα τῆς δικαιοσύνης σου.

**Χ**αῖρε Μαριὰμ, δι' ἧς ἔλαμψε χαρὰ τῷ κόσμῳ, καὶ ἀρὰ ἡ καθ' ἡμῶν ἐξωστράκισται, τὸν Σωτῆρα κυησάσης ἐπὶ γῆς·

Ἐταπεινώθην ἕως σφόδρα, Κύριε, ζῆσόν με κατὰ τὸν λόγον σου.

**Θ**αῦμα ἀληθῶς, πολυθρύλλητον Ἀγγέλων πέλεις, καὶ τραυματισμὸς πολυθρήνητος, τῶν δαιμόνων ὦ Μητρόθεε Ἁγνή.

Τὰ ἑκούσια τοῦ στόματός μου εὐδόκησον δὴ, Κύριε, καὶ τὰ κρίματά σου δίδαξόν με.

**Δ**ένδρον ἀληθῶς, ἀγλαόκαρπον Κόρη ἐγένου, ἐξ οὗ πάντες τρέφονται οἱ πιστοὶ, τὸν οὐράνιον δρεπόμενοι καρπόν·

Ἡ ψυχή μου ἐν ταῖς χερσί σου διὰ παντὸς, καὶ τοῦ νόμου σου οὐκ ἐπελαθόμην.

**Ὕ**ψος λογισμοῖς, δυσανάβατον τοῖς ἀνθρωπίνοις, βάθος Κόρη δὲ δυσθεώρητον, τοῖς Ἀγγέλων χρηματίζεις ὀφθαλμοῖς·

Ἔθεντο ἁμαρτωλοὶ παγίδα μοι, καὶ ἐκ τῶν ἐντολῶν σου οὐκ ἐπλανήθην.

**Μ**όνη ἐκλεκτὴ, ἐχρημάτισας Θεῷ Παρθένε· τοιγαροῦν σοὶ μόνη ἐποίησε, μεγαλεῖα, ὥσπερ ἔφης, ὁ Θεός·

ΠΑΝΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Ἐκληρονόμησα τὰ μαρτύριά σου εἰς τὸν αἰῶνα, ὅτι ἀγαλλίαμα τῆς καρδίας μου εἰσίν.

**Ὅ**λη εἶ καλή, καὶ οὐκ ἔστι σοι Παρθένε μῶμος, κράζει ὁ Νυμφίος ὀπίσω σου, εὐπρεπείας τοῦ σοῦ κάλλους ἐρασθείς·

Ἔκλινα τὴν καρδίαν μου τοῦ ποιῆσαι τὰ δικαιώματά σου εἰς τὸν αἰῶνα δι' ἀντάμειψιν.

**Δ**ύναμιν πολλαί, θυγατέρες τῷ Θεῷ Παρθένε, ἐποιήσαντο σὺ πάσας δὲ ἀληθῶς, ὑπερῆρας καὶ ὑπέρκεισαι πασῶν·

Παρανόμους ἐμίσησα, τὸν δὲ νόμον σου ἠγάπησα.

**Ἄ**δομέν σοι οὖν, μελῳδήματα καρπὸν χειλέων, καὶ ὑμνολογοῦμεν τὴν δόξαν σου, μεγαλύνοντες τὸν τόκον σου Ἁγνή·

Βοηθός μου καὶ ἀντιλήπτωρ μου εἶ σύ, εἰς τοὺς λόγους σου ἐπήλπισα.

**Ρ**εῖθρα τῆς ζωῆς, τὴν προχέουσαν Θεοῦ σοφίαν, ἐν γαστρί σου σχοῦσα Πανάμωμε, ζωτικοὺς καὶ ἡμῖν πήγασον κρουνούς·

Ἐκκλίνατε ἀπ' ἐμοῦ πονηρευόμενοι, καὶ ἐξερευνήσω τὰς ἐντολὰς τοῦ Θεοῦ μου.

**Μ**έτοχοι ζωῆς, τῆς ἀφθάρτου τε καὶ ἀϊδίου, τῷ σῷ τόκῳ πάντες γεγόναμεν· δι' ὃ ᾄδομεν τὸ χαῖρέ σοι Σεμνή·



Ἀντιλαβοῦ μου κατὰ τὸ λόγιόν σου καὶ ζῆσόν με, καὶ μὴ καταισχύνῃς με ἀπὸ τῆς προσδοκίας μου.

**Ὥ**σπερ οὖν ἡμεῖς, τῆς καρδίας κλίνομέν σοι γόνυ, οὕτω καὶ αὐτὴ πρὸς ἡμᾶς τὸ οὖς, κλῖνον Δέσποινα τοὺς σοὺς θεραπευτάς.

Βοήθησόν μοι, καὶ σωθήσομαι, καὶ μελετήσω ἐν τοῖς δικαιώμασί σου διὰ παντός.

**Ὥ**σπερ οἱ νεκροί, διὰ σοῦ ζωοποιοῦνται Κόρη, οὕτω καὶ ἡμᾶς ζωοποίησον, νεκρωθέντας πλημμελήμασι πολλοῖς·

Ἐξουδένωσας πάντας τοὺς ἀποστατοῦντας ἀπὸ τῶν δικαιωμάτων σου, ὅτι ἄδικον τὸ ἐνθύμημα αὐτῶν.

**Γ**νώμην καὶ βουλήν, προσδοκίαν τε καὶ σῶμα Κόρη, ἅμα τῇ ψυχῇ καὶ τῷ πνεύματι, ἀνατίθεμεν πρὸς σὲ ὁλοσχερῶς·

Παραβαίνοντας ἐλογισάμην πάντας τοὺς ἁμαρτωλοὺς τῆς γῆς, διὰ τοῦτο ἠγάπησα τὰ μαρτύριά σου.

**Ὡ**ς γὰρ προσφυγῇ, ἐπὶ σοὶ θαῤῥοῦντες μόνῃ Κόρη, μὴ χρηστῆς ἐλπίδος ἐκπέσοιμεν, ἀλλὰ τύχοιμεν τῆς σῆς ἐπαρωγῆς·

Καθήλωσον ἐκ τοῦ φόβου σου τὰς σάρκας μου· ἀπὸ γὰρ τῶν κριμάτων σου ἐφοβήθην.

**Ρ**άβδον ἀγαθήν, τῆς δυνάμεως ἁγία Κόρη, ἅπασιν

ΕΛΛΗΝΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ... ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΣ

ἡμῖν ἐξαπόστειλον, τοῖς προσφεύγουσι τῇ σκέπῃ σου θερμῶς·

Ἐποίησα κρίμα καὶ δικαιοσύνην, μὴ παραδῷς με τοῖς ἀδικοῦσί με.

Ἄλλην γὰρ ἡμεῖς, οὐ γινώσκομεν Ἁγνὴ προστάτιν, πλήν σου τῆς τεκούσης τὸν Πλαστουργὸν, πρὸς ὃν πρέσβυν σε προβάλλομεν θερμόν·

Ἔκδεξαι τὸν δοῦλόν σου εἰς ἀγαθὸν, μὴ συκοφαντησάτωσάν με ὑπερήφανοι.

Πλούτισον ἡμᾶς, ταῖς ἰδέαις τῶν καλῶν Παρθένε, τοὺς ἀφρόνως ἤδη πτωχεύσαντας, παραβάσεσι τῶν θείων ἐντολῶν·

Οἱ ὀφθαλμοί μου ἐξέλιπον εἰς τὸ σωτήριόν σου, καὶ εἰς τὸ λόγιον τῆς δικαιοσύνης σου.

Εἴσαγε ἡμᾶς, εἰς ὁδοὺς τῆς μετανοίας Κόρη, ὀφθαλμοὺς νοὸς καταυγάζουσα, ταῖς πρεσβείαις Μαριὰμ φωτιστικαῖς·

Ποίησον μετὰ τοῦ δούλου σου κατὰ τὸ ἔλεός σου, καὶ τὰ δικαιώματά σου δίδαξόν με.

Ἄνασσα παντὸς, τοῖς σοῖς δούλοις ἱλέωσαι πᾶσι, ταῖς σαῖς μεσιτείαις τὸν Κύριον, ὅταν μέλλῃ κρῖναι πάντας τοὺς βροτούς·

Δοῦλός σου εἰμὶ ἐγὼ, συνέτισόν με, καὶ γνώσομαι τὰ μαρτύριά σου.

Ἴθυνον ἡμᾶς, πρὸς λιμένας σωτηρίους Κόρη, τοὺς χειμαζομένους ἐν κλύδωνι, ψυχοφθόρων παραπτώσεων δεινῷ.



Καιρὸς τοῦ ποιῆσαι τῷ Κυρίῳ, διεσκέδασαν τὸν νόμον σου.

Ὄμβρῳ οἰκτιρμῶν, τῶν σῶν ἄνανδρε Θεοκυῆτορ, τῆς ψυχῆς ἡμῶν τὴν αὔλακα πότισον, χερσωθεῖσαν ταῖς ἀκάνθαις τῶν παθῶν·

Διὰ τοῦτο ἠγάπησα τὰς ἐντολάς σου ὑπὲρ χρυσίον καὶ τοπάζιον.

Ἄνοιξον ἡμῖν, τοῦ ἐλέους σου τὴν θύραν Κόρη, νῦν προσκαλουμένοις σὸν ὄνομα, ὡς ἀνθρώπων ταχυνὴ καταφυγή.

Διὰ τοῦτο πρὸς πάσας τὰς ἐντολάς σου κατωρθούμην, πᾶσαν ὁδὸν ἄδικον ἐμίσησα.

Δέξαι τὸν καιρὸν, τῆς νηστείας τῇ ταφῇ σου Κόρη, ἀντὶ σμύρνης ἣν προσηγάγομεν, καὶ δὸς νέκρωσιν ἡμῖν τὴν τῶν παθῶν·

Θαυμαστὰ τὰ μαρτύριά σου, διὰ τοῦτο ἐξηρεύνησεν αὐτὰ ἡ ψυχή μου.

Δέξαι καὶ ᾠδὰς, ἃς προσάγομέν σοι Παναγία, ὡς εὐώδη μύρα τῷ τάφῳ σου, παριστάμενοι νυνὶ δουλοπρεπῶς·

Ἡ δήλωσις τῶν λόγων σου φωτιεῖ, καὶ συνετιεῖ νηπίους.

Οἴδαμεν Ἁγνὴ, ὡς οὐδέν σοι ἄξιον τελοῦμεν, ὧν ἡμῖν

παρέχεις σὺ δωρεῶν, ἴσας ψάμμῳ κἂν προσάγωμεν ᾠδάς·

Τὸ στόμα μου ἤνοιξα, καὶ εἵλκυσα πνεῦμα, ὅτι τὰς ἐντολάς σου ἐπεπόθουν.

Ἅπας γὰρ Ἁγνὴ, ὕμνος καὶ ᾠδὴ ἡττῶνται, τῶν ἀπειραρίθμων χαρίτων σου, καὶ τῶν δώρων ὧν καρπούμεθα ἡμεῖς·

Δόξα.

Δόξαν τῷ Πατρὶ, σὺν Υἱῷ τε καὶ τῷ παναγίῳ, Πνεύματι προσάγομεν εὐσεβῶς, τῇ Τριάδι τῇ ἁγίᾳ καὶ σεπτῇ·

Καὶ νῦν.

Ἄσμασι πιστοὶ, ὀρθοδόξοις τε καὶ εὐπροσδέκτοις, πάντες ἀνυμνήσωμεν σήμερον, τὴν Μητέρα τοῦ Θεοῦ δουλοπρεπῶς·

Καὶ πάλιν τὸ πρῶτον.

Ἄξιόν ἐστι, μεγαλύνειν σε τὴν Θεοδόχον, τὴν τῶν ἀρετῶν ταμεῖον ὑπάρξασαν, καὶ χαρίτων ἁπασῶν τῶν τοῦ Θεοῦ.

Συναπτὴ μικρὰ, καὶ ἐκφώνησις.

Ὅτι ἅγιος εἶ ὁ Θεὸς ἡμῶν, ὁ ἐπὶ θρόνου δόξης τῶν Χερουβὶμ ἐπαναπαυόμενος, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· Ἀμήν.

## ΣΤΑΣΙΣ ΤΡΙΤΗ.

Ἄρχεται αὖθις μετὰ μέλους ὁ δεξιὸς χορός.

Ἦχος γ'.

Αἱ γενεαὶ πᾶσαι, ὕμνον τῇ ταφῇ σου, προσάγουσι Παρθένε·

Ἐπίβλεψον ἐπ' ἐμὲ, καὶ ἐλέησόν με, κατὰ τὸ κρίμα τῶν ἀγαπώντων τὸ ὄνομά σου.

Νέκρωσιν ὑπέστης, κυήσασα Παρθένε, τὸν νεκρωτὴν τοῦ ᾅδου·

Τὰ διαβήματά μου κατεύθυνον κατὰ τὸ λόγιόν σου, καὶ μὴ κατακυριευσάτω μου πᾶσα ἀνομία.

Θανοῦσα ἀθανάτους, μετέβης πρὸς σκηνώσεις, ἐχθρὸν ἡ θανατοῦσα·

Λύτρωσαί με ἀπὸ συκοφαντίας ἀνθρώπων, καὶ φυλάξω τὰς ἐντολάς σου.

Σκιρτῶσιν αἱ καρδίαι, τῶν εὐσεβούντων πάντων, ἐπὶ τῇ σῇ κηδεύσει·

Τὸ πρόσωπόν σου ἐπίφανον ἐπὶ τὸν δοῦλόν σου, καὶ δίδαξόν με τὰ δικαιώματά σου.

Ἡ γῆ πανηγυρίζει, ὁ οὐρανὸς χορεύει, σοῦ ἄνω αἰρομένης.

ΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ... ΓΕΝΝ... ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Διεξόδους ὑδάτων κατέδυσαν οἱ ὀφθαλμοί μου, ἐπεὶ οὐκ ἐφύλαξα τὸν νόμον σου.

Ἐπείγῃ ὦ Παρθένε, ἀπαίρειν εἰς τὰ ἄνω, ὑπὲρ τῶν κάτω οὖσα·

Δίκαιος εἶ, Κύριε, καὶ εὐθεῖαι αἱ κρίσεις σου.

Ἵνα τὸ κάλλος βλέπῃς, τοῦ σοῦ Υἱοῦ Παρθένε, πρὸς οὐρανοὺς μετέστης.

Ἐνετείλω δικαιοσύνην τὰ μαρτύριά σου, καὶ ἀλήθειαν σφόδρα.

Ἐζώωσας Παρθένε, τὰ πέρατα τοῦ κόσμου, τῇ σῇ σεπτῇ κοιμήσει·

Ἐξέτηξέ με ὁ ζῆλός σου, ὅτι ἐπελάθοντο τῶν λόγων σου οἱ ἐχθροί μου.

Ὁ τάφος σου Παρθένε, παθῶν ἡμᾶς λυτροῦται, τὴν δόξαν σου κηρύττων·

Πεπυρωμένον τὸ λόγιόν σου σφόδρα, καὶ ὁ δοῦλός σου ἠγάπησεν αὐτό.

Ὁ τάφος σου κηρύττει, Παρθένε τὴν ταφήν σου, καὶ τὴν μετάστασίν σου·

Νεώτερος ἐγώ εἰμι καὶ ἐξουδενωμένος, τὰ δικαιώματά σου οὐκ ἐπελαθόμην.

Σὲ καθορᾷν δοκοῦμεν, ἁγία Θεοτόκε, σῆμα τὸ σὸν ὁρῶντες·



Ἡ δικαιοσύνη σου δικαιοσύνη εἰς τὸν αἰῶνα, καὶ ὁ νόμος σου ἀλήθεια.

Ἐν οὐρανῷ ἑστάναι, νομίζομεν Παρθένε, ἑστῶτες τῷ ναῷ σου·

Θλίψεις καὶ ἀνάγκαι εὕροσάν με, αἱ ἐντολαί σου μελέτη μου.

Ἱκέτευε τὸν κτίστην, σὺν τοῖς ἁγίοις πᾶσι, καὶ τοῖς γεννήτορσί σου·

Δικαιοσύνη τὰ μαρτύριά σου εἰς τὸν αἰῶνα, συνέτισόν με, καὶ ζήσομαι.

Ὅπως καταξιώσῃ, χαρᾶς ἀνεκλαλήτου, τοὺς ὀρθοδόξους πάντας.

Ἐκέκραξα ἐν ὅλῃ καρδίᾳ μου· ἐπάκουσόν μου, Κύριε, τὰ δικαιώματά σου ἐκζητήσω.

Πάντες οἱ λαοί σε, Δέσποιναν Παρθένε, καλοῦσι προσκυνοῦντες·

Ἐκέκραξά σοι, σῶσόν με, καὶ φυλάξω τὰ μαρτύριά σου.

Καὶ ὄντως ὦ Παρθένε, αἱ γενεαὶ πᾶσαι, μακαρίζουσί σε·

Προέφθασα ἐν ἀωρίᾳ καὶ ἐκέκραξα, εἰς τοὺς λόγους σου ἐπήλπισα.

Τῶν χριστοκτόνων μόνον, τὸ γένος Θεοτόκε, τὰ νῶτά σοι ἐκστρέφει·

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Προέφθασαν οἱ ὀφθαλμοί μου πρὸς ὄρθρον, τοῦ μελετᾷν τὰ λόγιά σου.

**Φ**υλαὶ λοιπαὶ καὶ γλῶσσαι, τὸν τάφον σου κυκλοῦσι, σὲ ἀνυμνολογοῦντες·

Τῆς φωνῆς μου ἄκουσον, Κύριε, κατὰ τὸ ἔλεός σου, κατὰ τὸ κρίμά σου ζῆσόν με.

**Π**άντες ἐξαιτοῦνται, τὴν σκέπην σου Παρθένε, καὶ τὴν ἀντίληψίν σου.

Προσήγγισαν οἱ καταδιώκοντές με ἀνομίᾳ, ἀπὸ δὲ τοῦ νόμου σου ἐμακρύνθησαν.

**Ο**ὐ γὰρ κατησχυμένος, ἀπέρχεταί σου Κόρη, πᾶς ὃς τίς σοι προστρέχει.

Ἐγγὺς εἶ σὺ, Κύριε, καὶ πᾶσαι αἱ ὁδοί σου ἀλήθεια.

**Α**γαθοῖς καὶ φαύλοις, παρέχεις τὰς αἰτήσεις, μιμήσει τοῦ Υἱοῦ σου·

Κατ᾽ ἀρχὰς ἔγνων ἐκ τῶν μαρτυρίων σου, ὅτι εἰς τὸν αἰῶνα ἐθεμελίωσας αὐτά.

**Π**άντας γὰρ ἐθέλεις, σωθῆναι μετασχόντας, τῆς σῆς μεγαλωσύνης·

Ἴδε τὴν ταπείνωσίν μου, καὶ ἐξελοῦ με, ὅτι τοῦ νόμου σου οὐκ ἐπελαθόμην.

**Ο**ἴδαμέν σε Κόρη, φιλάνθρωπον οἱ πάντες, οἷα Θεοῦ Μητέρα



Κρῖνον τὴν κρίσιν μου, καὶ λύτρωσαί με, διὰ τὸν λόγον σου ζῆσόν με.

**Τ**ίς ἐξειπεῖν ἰσχύσει, Παρθενομῆτορ μόνη, τὰς θείας ἀρετάς σου·

Μακρὰν ἀπὸ ἁμαρτωλῶν σωτηρία, ὅτι τὰ δικαιώματά σου οὐκ ἐξεζήτησαν.

**Τ**ίς δὲ ἐπαριθμήσει, τὰς σὰς εὐεργεσίας, ἃς πᾶσιν ἐπινέμεις·

Οἱ οἰκτιρμοί σου πολλοὶ, Κύριε κατὰ τὸ κρίμά σου ζῆσόν με.

**Ζ**ῶσι καὶ τεθνεῶσι, τοῖς ἐπὶ σὲ θαῤῥοῦσιν, ἀντίληψιν σὺ δίδως·

Πολλοὶ οἱ ἐκδιώκοντές με καὶ θλίβοντές με, ἐκ τῶν μαρτυρίων σου οὐκ ἐξέκλινα.

**Ο**σα γὰρ θέλεις πράττεις, τὰ πάντα δυναμένη, ὡς Μήτηρ τοῦ Ὑψίστου·

Εἶδον ἀσυνετοῦντας, καὶ ἐξετηκόμην, ὅτι τὰ λόγιά σου οὐκ ἐφυλάξαντο.

**Ζ**ῶσι καὶ τεθνεῶσι, πρόστηθι οὖν Κόρη, ἡμῖν τοῖς σὲ ὑμνοῦσιν·

Ἴδε, ὅτι τὰς ἐντολάς σου ἠγάπησα, Κύριε, ἐν τῷ ἐλέει σου ζῆσόν με.

**Α**πάλλαξον Παρθένε, ἡμᾶς τοῦ αἰωνίου, πυρὸς καὶ τῆς γεέννης·

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Ἀρχὴ τῶν λόγων σου ἀλήθεια, καὶ εἰς τὸν αἰῶνα πάντα τὰ κρίματα τῆς δικαιοσύνης σου.

**Μ**όνη σὺ προστάτις, πενήτων ὀρφανῶν τε, καὶ τῶν χηρῶν ὑπάρχεις·

Ἄρχοντες κατεδίωξάν με δωρεὰν, καὶ ἀπὸ τῶν λόγων σου ἐδειλίασεν ἡ καρδία μου.

**Σ**ὺ γὰρ Μαρία πέλεις, ὁ γλυκασμὸς Ἀγγέλων, χαρὰ τῶν θλιβομένων·

Ἀγαλλιάσομαι ἐγὼ ἐπὶ τὰ λόγιά σου, ὡς ὁ εὑρίσκων σκῦλα πολλά.

**Χ**ριστιανῶν σε σκέπην, μάλιστα καὶ Μητέρα, κηρύττομεν οἱ πάντες·

Ἀδικίαν ἐμίσησα καὶ ἐβδελυξάμην, τὸν δὲ νόμον σου ἠγάπησα.

**Ε**ἰς βάθη τῆς κακίας, πεσόντας Θεοτόκε, ἔγειρον σαῖς πρεσβείαις·

Ἑπτάκις τῆς ἡμέρας ᾔνεσά σε ἐπὶ τὰ κρίματα τῆς δικαιοσύνης σου.

**Ε**ὐόδωσον Παρθένε, πρὸς τρίβους τοῦ Κυρίου, τοὺς σὲ εὐλαβουμένους·

Εἰρήνη πολλὴ τοῖς ἀγαπῶσι τὸν νόμον σου, καὶ οὐκ ἔστιν αὐτοῖς σκάνδαλον.

**Κ**ακοῖς κεκρατημένους, Παρθένε μὴ παρίδῃς, εἰς τέλος ἀπολέσθαι.



Προσεδόκων τὸ σωτήριόν σου, Κύριε, καὶ τὰς ἐντολάς σου ἠγάπησα.

**Ε**ν γνώσει καὶ ἀγνοίᾳ, πταίομεν καθ' ἑκάστην, σοί τε καὶ τῷ Υἱῷ σου·

Ἐφύλαξεν ἡ ψυχή μου τὰ μαρτύριά σου, καὶ ἠγάπησεν αὐτὰ σφόδρα.

**Α**λλὰ μὴ ἀποῤῥίψῃς, ἀπὸ τοῦ σοῦ προσώπου, ἡμᾶς Παρθενομῆτορ.

Ἐφύλαξα τὰς ἐντολάς σου καὶ τὰ μαρτύριά σου, ὅτι πᾶσαι αἱ ὁδοί μου ἐναντίον σου, Κύριε.

**Δ**υσώπει τὸν Υἱόν σου, οἰκτεῖραι ἡμᾶς πάντας, ἐν τῇ μελλούσῃ κρίσει·

Ἐγγισάτω ἡ δέησίς μου ἐνώπιόν σου, Κύριε, κατὰ τὸ λόγιόν σου συνέτισόν με.

**Ο**ἴδαμεν ὡς ἰσχύει, ἡ σὴ πρεσβεία Κόρη, πρὸς τὸν ἐκ σοῦ τεχθέντα·

Εἰσέλθοι τὸ ἀξίωμά μου ἐνώπιόν σου, Κύριε, κατὰ τὸ λόγιόν σου ῥῦσαί με.

**Ε**ὐμενῆ πολλάκις, αὐτὸν ἀγανακτοῦντα, εἰργάσω ἡμῖν μόνη·

Ἐξερεύξαιντο τὰ χείλη μου ὕμνον, ὅταν διδάξῃς με τὰ δικαιώματά σου.

**Τ**αῖς σαῖς πρεσβείαις κλίνει, τιμῶν σε ὡς Μητέρα, ἀξίαν πάσης δόξης·

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Φθέγξαιτο ἡ γλῶσσά μου, τὰ λόγιά σου, ὅτι πᾶσαι αἱ ἐντολαί σου δικαιοσύνη.

Σὲ καὶ ἡμεῖς ἀξίως, ἐκ πόθου προσκυνοῦμεν, καὶ ἀνυμνολογοῦμεν·

Γενέσθω ἡ χείρ σου τοῦ σῶσαί με, ὅτι τὰς ἐντολάς σου ᾑρετισάμην.

Διὰ σοῦ γὰρ Κόρη, ἀνέπλασε τὸ γένος, ἡμῶν ὁ Θεὸς Λόγος·

Ἐπεπόθησα τὸ σωτήριόν σου, Κύριε, καὶ ὁ νόμος σου μελέτη μου ἐστί.

Διὰ σοῦ καὶ σώζει, τοὺς σοὶ προσπεφευγότας, πανύμνητε Μαρία·

Ζήσεται ἡ ψυχή μου, καὶ αἰνέσει σε, καὶ τὰ κρίματά σου βοηθήσει μοι.

Ὄργανον γὰρ πέλεις, βροτῶν τῆς σωτηρίας, Θεῷ ἐκλελεγμένον·

Ἐπλανήθην ὡς πρόβατον ἀπολωλὸς, ζήτησον τὸν δοῦλόν σου, ὅτι τὰς ἐντολάς σου οὐκ ἐπελαθόμην.

Ἀγάθυνον οὖν πάντας, ὡς οἶδας τοὺς σοὺς δούλους, Παρθένε Θεοτόκε·

Δόξα.

Ὦ Τριὰς ἁγία, Πατὴρ Υἱὸς καὶ Πνεῦμα, τοὺς λατρευτάς σου σῶσον.



Καὶ νῦν

Ὦ Παναγία Μῆτερ, σκέπε καὶ φρούρει πάντας, τοὺς ἐπὶ σὲ θαῤῥοῦντας·

Καὶ πάλιν τὸ πρῶτον.

Αἱ γενεαὶ πᾶσαι, ὕμνον τῇ ταφῇ σου, προσάγουσι Παρθένε·

Εἶτα τὰ Εὐλογητάρια.

Εὐλογητὴ εἶ Δέσποινα, σκέπε, φρούρει τοὺς σὲ ὑμνολογοῦντας.

Τῶν Ἀγγέλων ὁ δῆμος, κατεπλάγη ὁρῶν σε, ἐν νεκροῖς λογισθεῖσαν, τὴν σωτῆρα τῶν βροτῶν Μαριὰμ τετοκυῖαν, τὸν σὺν ἑαυτῷ τὸν Ἀδὰμ ἐγείραντα, καὶ ἐξ ᾅδου πάντας ἐλευθερώσαντα·

Εὐλογητὴ εἶ Πάναγνε, τήρει πάντας ἡμᾶς ἀκατακρίτους

Τί θρηνεῖτε συμπαθῶς, ὦ γύναια, ἐπ' ἐμοὶ θνήσκειν μελλούσῃ, ἡ Παρθένος τερπομένη ἔλεγε, πρὸς τὰς γείτονας θρηνολογούσας· παύσασθε ὑμεῖς τοῦ θρήνου, καὶ ἥσθητε· καὶ θανοῦσα γὰρ ὑμῶν οὐκ ἀφίσταμαι·

Εὐλογητὴ εἶ Ἄχραντε, σῶζε πάντας ἡμᾶς ἀναμαρτήτους.

Λίαν ταχὺ πρὸς σὲ Κόρη ἔδραμον, οἱ Ἀπόστολοι θρηνολογοῦντες, μεταστῆναι πρὸς τὰ ἄνω μέλλου-



ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

σαν, καὶ εἶπον, θρήνου νῦν καιρὸς, τὸ πάθος πῶς οἴσομεν, ὀρφανίας τῆς σῆς ὦ Παναμώμητε;

Εὐλογητὴ εἶ Πάνσεμνε, δίδου πᾶσιν ἡμῖν τὴν σωτηρίαν.

**Μ**υροφόρων, Παρθένε, τάξιν ἀναλαβόντες, πρὸς τὸ μνῆμά σου ὕμνους ἐξοδίους, προσκομίζομεν ἀνυμνοῦντές σε Κόρη, τὴν μετὰ νεκρῶν λογισθεῖσαν ὡς ἄνθρωπον, ὡς Θεοῦ δὲ μεταστᾶσαν γεννήτριαν·

Δόξα.

**Π**ροσκυνοῦμεν Πατέρα, καὶ τὸν τούτου Υἱόν τε, καὶ τὸ ἅγιον Πνεῦμα, τὴν ἁγίαν Τριάδα, ἐν μιᾷ τῇ οὐσίᾳ, σὺν τοῖς Σεραφὶμ, κράζοντες τὸ ἅγιος, ἅγιος, ἅγιος εἶ Κύριε.

Καὶ νῦν.

**Ζ**ωοδότην τεκοῦσα, ἁμαρτίας Παρθένε, τὸν Ἀδὰμ ἐλυτρώσω· χαρμονὴν δὲ τῇ Εὔᾳ ἀντὶ λύπης παρέσχες, ῥεύσαντα ζωῆς, ἴθυνε πρὸς ταύτην δὲ, ὁ ἐκ σοῦ σαρκωθεὶς Θεὸς καὶ ἄνθρωπος.

Ἀλληλούϊα, Ἀλληλούϊα, Ἀλληλούϊα,
Δόξα σοι ὁ Θεός. (ἐκ τρίτου).

Εἶτα συναπτὴ, καὶ ἐκφώνησις.

**Ο**τι σὲ αἰνοῦσι πᾶσαι αἱ δυνάμεις τῶν οὐρανῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.



Ἐξαποστειλάριον, (ἐκ τρίτου).

**Α**πόστολοι ἐκ περάτων, συναθροισθέντες ἐνθάδε, Γεθσημανῇ τῷ χωρίῳ, κηδεύσατέ μου τὸ σῶμα· καὶ σὺ Υἱὲ καὶ Θεέ μου, παράλαβέ μου τὸ πνεῦμα·

Εἰς τοὺς Αἴνους, ἱστῶμεν στίχους δ΄. Ἦχος δ΄.

Ὡς γενναῖον ἐν Μάρτυσι.

**Τ**ῇ ἐνδόξῳ κοιμήσει σου, Οὐρανοὶ ἐπαγάλλονται, καὶ Ἀγγέλων γέγηθε τὰ στρατεύματα· πᾶσα ἡ γῆ δὲ εὐφραίνεται, ᾠδήν σοι ἐξόδιον, προσφωνοῦσα τῇ Μητρὶ, τοῦ τῶν ὅλων δεσπόζοντος, Ἀπειρόγαμε, Παναγία Παρθένε ἡ τὸ γένος, τῶν ἀνθρώπων ῥυσαμένη, προγονικῆς ἀποφάσεως· (Δίς).

**Ε**κ περάτων συνέδραμον, Ἀποστόλων οἱ πρόκριτοι, θεαρχίῳ νεύματι τοῦ κηδεῦσαί σε, καὶ ἀπὸ γῆς αἰρομένην σε, πρὸς ὕψος θεώμενοι, τὴν φωνὴν τοῦ Γαβριὴλ, ἐν χαρᾷ ἀνεβόων σοι· χαῖρε ὄχημα, τῆς Θεότητος ὅλης, χαῖρε μόνη, τὰ ἐπίγεια τοῖς ἄνω, τῷ τοκετῷ σου συνάψασα.

**Τ**ὴν ζωὴν ἡ κυήσασα, πρὸς ζωὴν μετεβέβηκας, τῇ

σεπτῇ κοιμήσει σου τὴν ἀθάνατον, δορυφορούντων Ἀγγέλων σοι, Ἀρχῶν καὶ Δυνάμεων, Ἀποστόλων Προφητῶν, καὶ ἁπάσης τῆς κτίσεως, δεχομένου τε, ἀκηράτοις παλάμαις τοῦ Υἱοῦ σου, τὴν ἀμώμητον ψυχήν σου, Παρθενομῆτορ Θεόνυμφε·

Δόξα καὶ νῦν. Ἦχος πλ. β'.

**Τ**ῇ ἀθανάτῳ σου κοιμήσει, Θεοτόκε Μήτηρ τῆς ζωῆς, νεφέλαι τοὺς Ἀποστόλους αἰθερίους διήρπαζον, καὶ κοσμικῶς διεσπαρμένους, ὁμοχώρους παρέστησαν τῷ ἀχράντῳ σου σώματι· οἳ καὶ κηδεύσαντες σεπτῶς, τὴν φωνὴν τοῦ Γαβριὴλ μελῳδοῦντες ἀνεβόων· χαῖρε κεχαριτωμένη, Παρθένε Μήτηρ ἀνύμφευτε, ὁ Κύριος μετὰ σοῦ· μεθ' ὧν ὡς Υἱόν σου καὶ Θεὸν ἡμῶν, ἱκέτευε σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἶτα δοξολογία μεγάλη. Ψαλλομένου δὲ τοῦ Τρισαγίου ἀργῶς, αἴρουσι τὴν Κλίνην καὶ ἀναβαίνουσι τὰς βαθμίδας κτλ. ὡς ἐν τῇ διατάξει διελάβομεν. Εἶθ' οὕτω ἐπιστρέφοντες ψάλλουσι τὰ παρόντα τροπάρια.

**Α**πόστολοι ἐκ περάτων, συναθροισθέντες ἐνθάδε, Γεθσημανῇ τῷ χωρίῳ, κηδεύσατέ μου τὸ σῶμα· καὶ σὺ Υἱὲ καὶ Θεέ μου, παράλαβέ μου τὸ πνεῦμα·



**Τ**ῶν Ἀποστόλων ὁ δῆμος, συναθροισθεὶς ἐν νεφέλαις, ἀξιοχρέως κηδεύει, τὴν τοῦ Κυρίου Μητέρα, παρόντος καὶ τοῦ Σωτῆρος, σὺν μυριάσιν Ἀγγέλων·

**Μ**ετὰ βροντῆς ἐν νεφέλαις, τοὺς Ἀποστόλους ὁ Σωτὴρ, πρὸς τὴν τεκοῦσαν ἐκπέμπει, πόθῳ κηδεύσοντας αὐτήν· κατέρχεται δὲ καὶ οὗτος, δορυφορούντων Ἀγγέλων.

Ὅμοια τροπάρια ψαλλόμενα καθ' ἑκάστην ἡμέραν μετὰ τὸ τέλος τῆς ἱερᾶς Λειτουργίας, ὅτε ὁ λαὸς ἀσπάζεται τὸν τάφον τῆς Θεοτόκου.

Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.

**Ν**εῦσον οὐρανόθεν πρὸς ἡμᾶς, τοὺς συναθροισθέντας ἐν τῷδε, τῷ σῷ πανσέπτῳ Ναῷ, καὶ τὸ θεῖον μνῆμά σου νῦν προσκυνοῦντας σεπτῶς, καὶ σὴν χάριν κατάπεμψον, ἡμῖν Παναγία, Μήτηρ τοῦ Θεοῦ ἡμῶν, ἡ σωτηρία πιστῶν, ὅπως δυνηθῶμεν ἐνθέως, τὴν ζωὴν ἡμῶν διανύσαι, καὶ τῆς τοῦ Υἱοῦ σου δόξης τύχωμεν·

**Ω**σπερ Ἀποστόλων ἡ πληθὺς, ἐν τῇ σῇ κοιμήσει ἐπέστη, ἐκ τῶν περάτων τῆς γῆς, ὧδε τὸ θειότατον κηδεῦσαι σῶμά σου, καὶ ἡμεῖς οὕτω σήμερον, πι-

ΑΓΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ... ΚΤΗΤΟΡΗΣ ΠΑΠΑ...

στῶς συνδραμόντες, πόθῳ κατασπάσασθαι τὸ θεῖον μνῆμά σου· ὡς οὖν τότ' ἐκείνοις ὑπέσχου, φάνηθι ἡμῖν τοῖς σοῖς δούλοις, πρέσβυς πρὸς Υἱόν σου τὸν Θεὸν ἡμῶν.

Δέχου εὐμενῶς ἡμῶν λιτὰς, Δέσποινα τοῦ κόσμου Μαρία, Θεοκυῆτορ Ἁγνὴ, ἃς ἐν τῷ ἁγίῳ σου τάφῳ προσφέρωμεν, ἐκ καρδίας καὶ στόματος, καὶ λύσιν παράσχου, τῶν ἁμαρτιῶν ἡμῶν, καὶ χαλεπῶν πειρασμῶν· σὺ γὰρ εἶ ἡμῶν προστασία, καὶ ἡ ἀσφαλὴς σωτηρία, ἐν τῷ νῦν αἰῶνι καὶ τῷ μέλλοντι.

Καὶ ἀπόλυσις.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ • ΣΥΛΛΟΓΗ ΙΩΡΗΣ ΠΑΠΠΑΣΤΡΑΤΟΥ

ΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟ ... ΠΑΠΑΣΤΡΑΤΟΥ